UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

24. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωι πόρωμεν,
εἰ ϲύ γε ϲῷ θυμῷ ἐθέλειϲ· κέλομαι γὰρ ἐγώ γε.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἀπίθηϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅ γ᾽ ἥρωϲ
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲϲ ἄεθλον.

---

## ΙΛΙΑΔΟϹ Ω.

Λῦτο δ᾽ ἀγών, λαοὶ δὲ θοὰϲ ἐπὶ νῆαϲ ἕκαϲτοι
ἐϲκίδναντ᾽ ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι. αὐτὰρ Ἀχιλλεὺϲ
κλαῖε φίλου ἑτάρου μεμνημένοϲ, οὐδέ μιν ὕπνοϲ
ἥρει πανδαμάτωρ, ἀλλ᾽ ἐϲτρέφετ᾽ ἔνθα καὶ ἔνθα,
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένοϲ ἠΰ,
ἠδ᾽ ὁπόϲα τολύπευϲε ϲὺν αὐτῷ καὶ πάθεν ἄλγεα,
ἀνδρῶν τε πτολέμουϲ ἀλεγεινά τε κύματα πείρων.
τῶν μιμνηϲκόμενοϲ θαλερὸν κατὰ δάκρυον εἶβεν,
ἄλλοτ᾽ ἐπὶ πλευρὰϲ κατακείμενοϲ, ἄλλοτε δ᾽ αὖτε
ὕπτιοϲ, ἄλλοτε δὲ πρηνήϲ· τοτὲ δ᾽ ὀρθὸϲ ἀναϲτὰϲ
δινεύεϲκ᾽ ἀλύων παρὰ θῖν᾽ ἁλόϲ. οὐδέ μιν ἠὼϲ

---

V. L. 893 πόρωμεν ἥρω D. — 894 ἐθέλοιϲ AGHL. ἐθέλειϲ CDES Syr. Cant. Harl. Townl. Mosc. 2. Vrat. b. Rom. conf. Ρ 489. ἐθέλῃ Lips. ἔγωγε libri. — 895 ὡϲ A. — 897 περικαλὲϲ H.

---

V. L. 1 Λῦτο libri mei, Et. Mg. 15, 50. 572, 10. Zonar. Lex. 18. Suidas II, 1, 650, 14. Cram. An. Par. IV, 87, 8. Eust. 108, 4. λύτο S Apoll. Soph. 6, 6. Schol. C 376. — 3 ὕπνου τὲ C. γλυκεροῖο E. ἀχῖλεὺϲ C. — 4 οὐδέ κεν L. οὐδὲ μὲν Lips. — 5 πανδαμάτωρ A. ἔϲτρεφ᾽ S. — 6 ἀνδροτῆτα ACDEGL Syr. Townl. Lips. Mor. Mosc. 2. Vrat. b. A. Eust. 353, 37. 641, 39. Rom. Bachm. Anecd. II, 124, 25. Draco de Metr. 137, 23. ἀδροτῆτα H, conf. ad Π 857. Χ 363. τε: γε Barocc. — 7 τολύπευε Harl. Mosc. 2. τολύπευϲεν ἐν C. τολύπευϲεν αὐτῶ D. ϲυναυτῶι A. ἄλγεα ACDEGHL Syr. ἄλγη Dindorfius. — 8 ἀνδρῶν τὲ A. πολέμουϲ CD Lips. ἀλγεινά S Harl. πείρων: περνῶν Lips. — 9 κατα ACDH. εἶβε L Lips. εἴβει Apoll. Soph. 63, 21 (?). — 10 ἔπι AH. πλεῦραϲ HS. — 11 δὲ omitt. D. ΔῊ Syr. δ᾽ αὖ Vrat. d. τότε DES. — 12 δινεύαϲκ᾽ S. δυνεύεϲκ᾽ Eust. 654, 55. πλωΐζοντ᾽ ἀλύοντ᾽ ἐπὶ θῖν᾽ ἁλὸϲ ἀτρυγέτοιο Plato Rep. III, 388 A.

---

A. c. 6—9 ἀθετοῦνται Aristonicus. προηθετοῦντο δὲ καὶ παρὰ Ἀριϲτοφάνει Didymus. — 7 αἱ δημώδειϲ καὶ πάθεν ἔργα Schol. V. — 8 πείρων Aristarchus: πειρῶν Pamphilus. — 12 ψιλῶϲ τὸ ἀλύων Herodianus.

φαινομένη λήθεϲκεν ὑπεὶρ ἅλα τ' ἠιόναϲ τε,
ἀλλ' ὅ γ' ἐπεὶ ζεύξειεν ὑφ' ἅρμαϲιν ὠκέαϲ ἵππουϲ,
Ἕκτορα δ' ἕλκεϲθαι δηϲάϲκετο δίφρου ὄπιϲθε.
τρὶϲ δ' ἐρύϲαϲ περὶ ϲῆμα Μενοιτιάδαο θανόντοϲ
αὖτιϲ ἐνὶ κλιϲίῃ παυέϲκετο, τὸν δέ τ' ἔαϲκεν
ἐν κόνι ἐκτανύϲαϲ προπρηνέα. τοῖο δ' Ἀπόλλων
πᾶϲαν ἀεικείην ἄπεχε χροῒ φῶτ' ἐλεαίρων,
καὶ τεθνηότα περ· περὶ δ' αἰγίδι πάντα κάλυπτε
χρυϲείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυϲτάζων.
ὣϲ ὁ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
τὸν δ' ἐλεαίρεϲκον μάκαρεϲ θεοὶ εἰϲορόωντεϲ,
κλέψαι δ' ὀτρύνεϲκον ἐΰϲκοπον ἀργεϊφόντην.
ἔνθ' ἄλλοιϲ μὲν πᾶϲιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρῃ
οὐδὲ Ποϲειδάων' οὐδὲ γλαυκώπιδι κούρῃ,
ἀλλ' ἔχον, ὥϲ ϲφιν πρῶτον ἀπήχθετο Ἴλιοϲ ἱρὴ
καὶ Πρίαμοϲ καὶ λαὸϲ Ἀλεξάνδρου ἕνεκ' ἄτηϲ,

V. L. 13 ὑπειρ AD. τ' omitt. Bekk. An. 928, 14 et 33. — 14 ἀλλά τ' ἐπιζεύξειεν D. ὅτ' ἐπιζεύξειεν Vrat. ЄΠΙΖЄΥΞЄΙЄΝ Syr. — 15 ὄπιϲθε H: ceteri ὄπιϲθεν. — 16 περι A. — 17 αὖθῒϲ C. αὖτιϲ δ' D. ἐνι AH. ἐν G Flor. Rom. τὸν δὲ δ' S. ΤΟΝΔЄΤ Syr. ceteri τόνδε δ' cum Schol. Є 256. — 18 ἒν A. κόνι AEC post rasur. sed suprascr. ει man. rec. Rom. κόνι' G Flor. κόνει HS. κονίῃ D. κονίῃ τανύϲαϲ L Lips. πρηνέα L. — 19 ἀεικίην Schol. Π 545. Apoll. Soph. 10, 7. conf. ad υ 308. Eust.
η
1893, 24. χρωτὶ Apoll. Soph. 10, 7. — 20 τεθνειότα A. τεθνειότα EG HL Syr. τεθνειότά C. τεθνειῶτα D. τεθνηότα S Cant. Vrat. d. A. Mosc. 2. περι D. κάλυπτε ACDEGH. ΚΑΛΥΠΤЄΝ Syr. καλύπτει S Cant. καλύπτων L Lips. κάλυψε Schol. Θ 43. ἐν ἄλλῳ κάλυψε A. — 22 ὡϲ ὁ μεν A. ἀείκιζε CDE Vrat. A. Lips. — 23—30 obelos habent praefixos in C. — 24 ἰέναι ὀτρύνεϲκον D. ὀτρύνεϲκον libri mei cum Harl. Mosc. 2. Lips. Vrat. d. A. ὠτρύνεϲκον ES Flor. Rom. cum aliis. — 25 ἑήνδα-
ι
νεν AGHL Flor. ἐφήνδανεν D. — 26 ποϲειδάωνι DE Lips. ποϲειδάων' A. — 28 εἵνεκ' DG Lips. Flor. ἐν ἄλλῳ ἕνεκ' ἀρχῆϲ A, ita est in Vrat. A.

A. c. 17 τόνδε δ' Herodianus, qui confert Є 238. ο 546. τόνδε δ' hoc loco ferri non posse nemo non videt; itaque scripsi cum Bekkero τὸν δέ τ' ut δ 387 τὸν δέ τ' ἐμόν φαϲιν πατέρ' ἔμμεναι. ο 546 τὸν δέ τ' ἐγὼ κομιῶ. Ν 733 τοῦ δέ τε πολλοὶ ἐπαυρίϲκοντ' ἄνθρωποι, conf. H. T. 362 sqq. — 20, 21 ἀθετοῦνται Aristonicus, conf. Eust. 1337, 37. οὕτωϲ αἰγίδα χρυϲείην αἱ ἀριϲτάρχου Didymus. — 23 ἀπὸ τούτου ὀκτὼ (—30) ἀθετοῦϲι, καὶ τοὺϲ μὲν ἓξ οὐκ ἀλόγωϲ, ὁ δὲ πρῶτοϲ ἐμοὶ δοκεῖ δεόντωϲ κεχρῆϲθαι, ὥϲτε τὴν ϲυναφὴν εἶναι „τὸν δ' ἐλεαίρεϲκον μάκαρεϲ θεοὶ εἰϲοροῶντεϲ· ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο“ Schol. BCMV. — 24—30 οἱ ἑπτὰ δεόντωϲ ἀθετοῦνται, ὡϲ Ἀρίϲταρχοϲ Schol. BMV. — 25—30 ἀθετοῦνται ϲτίχοι ἓξ Aristonicus, conf. Eust. 1337, 19. Tzetzes Alleg. 36. — 28 ἕνεκ' ἄτηϲ: οὕτωϲ Ἀρίϲταρχοϲ Schol. V. conf. ad Γ 100. Eust. 423, 19.

ὃϲ νείκεϲϲε θεάϲ, ὅτε οἱ μέϲϲαυλον ἵκοντο,
τὴν δ' ᾔνηϲ', ἥ οἱ πόρε μαχλοϲύνην ἀλεγεινήν.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώϲ,
καὶ τότ' ἄρ' ἀθανάτοιϲι μετηύδα Φοῖβοϲ Ἀπόλλων·
    ϲχέτλιοί ἐϲτε θεοί, δηλήμονεϲ· οὔ νύ ποθ' ὕμιν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα ϲαῶϲαι
ᾗ τ' ἀλόχῳ ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ
καὶ πατέρι Πριάμῳ λαοῖϲί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίϲαιεν.
ἀλλ' ὀλοῷ Ἀχιλῆι θεοὶ βούλεϲθ' ἐπαρήγειν,
ᾧ οὔτ' ἂρ φρένεϲ εἰϲὶν ἐναίϲιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ ϲτήθεϲϲι, λέων δ' ὣϲ ἄγρια οἶδεν,
ὅϲ τ' ἐπεὶ ἂρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
εἴξαϲ εἶϲ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβηϲιν·
ὣϲ Ἀχιλεὺϲ ἔλεον μὲν ἀπώλεϲεν, οὐδέ οἱ αἰδὼϲ
γίγνεται, ἥ τ' ἄνδραϲ μέγα ϲίνεται ἠδ' ὀνίνηϲι.
μέλλει μέν πού τιϲ καὶ φίλτερον ἄλλον ὀλέϲϲαι,
ἠὲ καϲίγνητον ὁμογάϲτριον ἠὲ καὶ υἱόν·
ἀλλ' ἢ τοι κλαύϲαϲ καὶ ὀδυράμενοϲ μεθέηκε·

---

V. ι. 29 ὅτέ οἱ C. μέϲαυλον DEH. — 30 ἤινεϲ' CD. ᾔνεϲϲ' Mosc. 2. γρ. ἥ οἱ κεχαριϲμένα δῶρ' ὀνόμηνεν A, conf. Eust. 1337, 35. — 31 δυωδεκάτη C. — 32 ἂρ ACDGL. — 33 ϲχέτλιϲι ἐϲτὲ DGHL. οὐδέποθ' A Vrat. d. ὖμιν A. ὕμμιν H Cant. Harl. Tzetz. Alleg. 40. ὑμμῖν S. γρ. οὔ νύ ποθ' ὕμιν A. — 35 τῷ νῦν GL (τῶ) Vrat. d. Mosc. 2. — 36 μητρὶ L. — 37 πατρὶ S Vrat. d. λαοῖϲι τὲ H. — 38 πυρῆ κῆεν D. κήϲαιεν Lips. ἔπι ADGHL. κτερίϲειαν DS Flor. κτερίϲαιεν ACGHL Lips. Townl. Mor. Vrat. d. A. Rom. — 39 ἀχιλλῆϊ DH. βούλεϲθ' ὥϲ παρήγειν (ε above) H. — 40 οὔτε φρένεϲ L Lips. Vrat. A. — 41 γαμπτὸν CL. γναπτὸν Lips. ἐνι A. δ' omitt. S. εἶδεν Lips. — 44 ἀχιλλεὺϲ D. μὲν ἀπῶϲεν D. αἰδῶ L. αἰδὼ Lips. — 45 γίγνεται AL Lips. γίνεται CDEGH. ἄνδρα C. ὀνίνηϲι ADGH. — 46 μέν που τιϲ ACDH Cant. Lips. Mor. Harl. Vrat. A. Flor. Rom. γάρ που τιϲ G Vrat. d. γάρ που μέν τιϲ Vrat. b. Mosc. 2. ὀλέϲαι D Flor. — 47 ἢ καὶ καϲίγνητον E. — 48 ἤτοι libri. ὀδυρόμενοϲ E. γράφεται καὶ ὀδυρόμενοϲ A. μεθέηκε ACDEGH.

---

A. c. 29, 30 ἠθέτηνται, conf. Pseudoplut. 102, 37. — 30 ἀθετεῖ Ἀρίϲταρχοϲ Schol. A. Eust. 1337, 32. παρ' Ἀριϲτοφάνει καί τιϲι τῶν πολιτικῶν, ἥ οἱ κεχαριϲμένα δῶρ' ὀνόμηνε Didymus. — 33 ὕμιν Herodianus ἐγκλιτικῶϲ. — 38 οὕτω διὰ τοῦ ᾱ ἡ παραλήγουϲα κτερίϲαιεν Didymus. — 42 ὁ ἐπεὶ ϲύνδεϲμοϲ περιϲϲεύει. μή ποτε διά τοῦ η̄ ἐγέγραπτο εἴξῃ Nicanor. — 45 ἀθετεῖται, ὅτι ἐκ τῶν Ἡϲιόδου (Op. 316) μετενήνεκται Aristonicus. ἠδ' Herodianus: alii ἡ δ'.

τλητὸν γὰρ μοῖραι θυμὸν θέϲαν ἀνθρώποιϲιν.
αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ ϲῆμ' ἑτάροιο φίλοιο
ἕλκει· οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ' ἄμεινον.
μὴ ἀγαθῷ περ ἐόντι νεμεϲϲηθέωμέν οἱ ἡμεῖϲ·
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
τὸν δὲ χολωϲαμένη προϲέφη λευκώλενοϲ Ἥρη·
εἴη κεν καὶ τοῦτο τεὸν ἔποϲ ἀργυρότοξε,
εἰ δὴ ὁμὴν Ἀχιλῆι καὶ Ἕκτορι θήϲετε τιμήν.
Ἕκτωρ μὲν θνητόϲ τε γυναῖκά τε θήϲατο μαζόν·
αὐτὰρ Ἀχιλλεύϲ ἐϲτι θεᾶϲ γόνοϲ, ἣν ἐγὼ αὐτὴ
θρέψά τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν,
Πηλεῖ, ὃϲ περὶ κῆρι φίλοϲ γένετ' ἀθανάτοιϲι.
πάντεϲ δ' ἀντιάαϲθε θεοὶ γάμου· ἐν δὲ ϲὺ τοῖϲι
δαίνυ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιϲτε.
τὴν δ' ἀπαμειβόμενοϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
Ἥρη, μὴ δὴ πάμπαν ἀποϲκύδμαινε θεοῖϲιν·
οὐ μὲν γὰρ τιμή γε μί' ἔϲϲεται· ἀλλὰ καὶ Ἕκτωρ
φίλτατοϲ ἔϲκε θεοῖϲι βροτῶν, οἳ ἐν Ἰλίῳ εἰϲίν·
ὣϲ γὰρ ἐμοί γ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸϲ ἐδεύετο δαιτὸϲ ἐίϲηϲ,
λοιβῆϲ τε κνίϲηϲ τε· τὸ γὰρ λάχομεν γέραϲ ἡμεῖϲ.

---

V. L. 49 ἀνθρώποιϲι DH. — 50 ἐπὶ φίλον H. — 51 φίλοιο omitt. C. — 52 οὐ μὴν οὐ S. μὴν οἶ L. οὐδ' ἔτ' L. — 53 νεμεϲϲηθῶμέν libri. οἱ καὶ ἡμεῖϲ A. — 54 δὴ omitt. CD. βαῖαν (γ) H. μενιαίνων (ε) H. — 55 χολωϲάμένοϲ (η) H. — 57 ἀχιλλῆϊ τε καὶ D. — 58 μὲν γὰρ D. γὰρ Athenaeus IX, 396. μαϲτὸν Et. Mg. 24, 45. — 59 ἀχϊλεὺϲ, ἔϲτι C. ἐϲτὶ E. θεοῖϲ γόνοϲ Lips. — 60 θρέψά τε ACDL. θρέψα τὲ G. ἀτίταλα Harl. Mosc. 2. — 61 πηλεῖ ACDEHLS. περι D. ἀθανάτοιϲι ACDEGHL. — 62 ἀντιάϲεϲθε Vrat. b. γάμου θεοὶ Schol. Pind. Pyth. III, 165. τοῖϲι ACEGHL. — 63 δαίνυϲ' Mor. conf. δαίνυϲαι φ 290. ἵϲταϲο Λ 314. Ρ 179. ἔϲϲυο Π 585. ι 447. μάρναο Ο 475. Π 497. ἐμάρναο χ 228. — 64 τὴνδε H. νεφεληγερέτα A. — 65 μὴ δὲ H. μὴ δὴ πάντα Cram. An. Par. III, 149, 21. — 67 εἰϲὶ D. — 68 ὡϲ H. ἔμοιγε L. — 69 μοι ποτὲ GHL. βωμόϲ ποτε δεύετο D. ἐΐϲϲηϲ CL Lips. — 70 κνίϲϲηϲ CDGHL. γέραϲ ἡμῖν Vrat. d.

---

A. c. 53 ἀθετεῖται Schol. BC. ἀρίϲταρχοϲ νεμεϲϲηθέωμεν διὰ τοῦ θε Didymus. — 59 ἀντὶ τοῦ γόνοϲ τινὲϲ γράφουϲι πάϊϲ Schol. V. — 64 τινὲϲ τὴν δὲ μέγ' ὀχθήϲαϲ Schol. V, conf. 138.

ἀλλ' ἦ τοι κλέψαι μὲν ἐάϲομεν, οὐδέ πῃ ἔϲτι
λάθρῃ Ἀχιλλῆοϲ, θραϲὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
μήτηρ παρμέμβλωκεν ὁμῶϲ νύκτάϲ τε καὶ ἦμαρ.
ἀλλ' εἴ τιϲ καλέϲειε θεῶν Θέτιν ἆϲϲον ἐμεῖο,
ὄφρά τί οἱ εἴπω πυκινὸν ἔποϲ, ὥϲ κεν Ἀχιλλεὺϲ
δώρων ἐκ Πριάμοιο λάχῃ ἀπό θ' Ἕκτορα λύϲῃ.
ὣϲ ἔφατ', ὦρτο δὲ Ἶριϲ ἀελλόποϲ ἀγγελέουϲα,
μεϲϲηγὺϲ δὲ Cάμου τε καὶ Ἴμβρου παιπαλοέϲϲηϲ
ἔνθορε μείλανι πόντῳ· ἐπεϲτονάχηϲε δὲ λίμνη.
ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐϲ βυϲϲὸν ὄρουϲεν,
ἥ τε κατ' ἀγραύλοιο βοὸϲ κέραϲ ἐμβεβαυῖα
ἔρχεται ὠμηϲτῇϲιν ἐπ' ἰχθύϲι κῆρα φέρουϲα.
εὗρε δ' ἐνὶ ϲπῆι γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι
εἵαθ' ὁμηγερέεϲ ἅλιαι θεαί· ἡ δ' ἐνὶ μέϲϲῃϲ
κλαῖε μόρον οὗ παιδὸϲ ἀμύμονοϲ, ὅϲ οἱ ἔμελλε
φθίϲεϲθ' ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρηϲ.
ἀγχοῦ δ' ἱϲταμένη προϲέφη πόδαϲ ὠκέα Ἶριϲ·
ὄρϲο Θέτι· καλέει Ζεὺϲ ἄφθιτα μήδεα εἰδώϲ.

V. L. 71 ἦτοι μὲν κλέψαι Vrat. d. πηι A: ceteri πῃ. ἔϲτι A. ἐϲτὶ CDEGH. ἐϲτὶν L. — 72 λάθρη E. ἀχῖλῆοϲ C. ἡ γάρ D. — 73 παρβέμβλωκεν L Lips. νύκτωρ Vrat. d. νύκτάϲ τε A. νύκταϲ τὲ C. ἦμαρ DH. — 74 ἤ τιϲ Cant. καλέϲειεν H. άϲϲον A. ἄϲϲον D. ἐμοῖο Vrat. d. — 75 ὄφρά τι A. ὄφρα τῇ S. ἀχῖλεὺϲ C. — 76 δῶρον H. ἀπο D. — 77 ὡϲ A. — 78 μεϲηγύϲδε D. μεϲϲηγῆϲ H. μεϲϲηγὺ ϲάμου τε Schol. Z 133. ϲά- [οιο] μουτε A. ϲάμοιο καὶ Vrat. d. τε ϲάμοιο καὶ Strabo VIII, 339. X, 457. — 79 ἐπεϲτενάχηϲε AS Cant. Harl. Townl. Vrat. d. ἐπεϲτενάχιϲε H. ἐπεϲτενάχιζε D. ἐπεϲτονάχηϲε G edd. vett. ἐπεϲτενάχηϲε ἢ ἐπεϲτονάχηϲε Eust. 1340, 22. ἐπεϲτονάχιϲε CL Lips. Barocc. conf. C 124. — 80 ἱκέλη DGHL Apoll. Soph. 113, 19. ἐϲ βυθὸν DHL Vrat. d. A. βηθὸν S. βυϲϲὸν ἵκανεν Plato Ion. 538 D. — 81 ἐμμεμαυῖα D Plato l. l. ἐμβεβαυῖααϲ G. ἐν ἄλλῳ ἐμμεμαυῖα A. — 82 ἐπιχθῦϲι D. ἰχθῦϲι C. ὠμηϲτῇϲι μετ' ἰχθύϲι πῆμα Plato l. l. — 83 ἐνι A. εὗρεν δ' ἐν C. ἐν Bekk. An. 1227. τέτιν G. ἀμφι ACD. δ' ἄρ AC. δ' ἄρ' Vrat. d. γρ. ἀμφι δέ τ' A. — 84 εἴαθ' D Schol. O 10. ἤδ' CDGHL. ἐνι A. ἐν E. μέϲϲαιϲ GHL Lips. Barocc. Flor. μέϲϲῃϲ' E. — 85 ἔμελλε ACE. — 86 φθήϲεϲθ' G. φείϲεϲθ' H 1. man. φθίϲθαι S Cant. ἐνὶ LS Cant. Lips. — 88 ὄρϲεο S Cant. θέτιϲ Mor.

A. c. 71 κλέψαι μὲν ἀμήχανον Antimachus. — 71—73 ἀθετοῦνται τρεῖϲ Aristonicus. — 72 θραϲὺν Ἕκτορα: ἄμεινον γράφειν νέκυν Ἕκτοροϲ Schol. V, conf. Ariston. ad 108. ἦ Herodianus: ἡ alii. γράφεται δὲ κατ' ἔνια εὖ γάρ οἱ αἰεὶ ἀντὶ τοῦ ἦ γάρ οἱ αἰεί Didymus. — 80 βυϲϲόν Herodianus ὀξυτόνωϲ. — 82 κῆρα: ἔνιαι τῶν κατὰ πόλειϲ πῆμα φέρουϲα. ἄτοπον γὰρ ἐπ' ἰχθύων κῆρα λέγειν Didymus. ὠμηϲτῇϲιν Aristarchus: ὠμήϲτῃϲιν Tyrannio, conf. Λ 454. X 67. — 84 εἴαθ' Aristophanes: Aristarchus εἷαθ' conf. Schol. O 10. — 85 ἐν τῇ κατὰ ῥιανὸν ὃϲ τάχ' ἔμελλε Didymus. — 86 ἀθετεῖται Aristonicus.

τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτιϲ ἀργυρόπεζα·
τίπτέ με κεῖνοϲ ἄνωγε μέγαϲ θεόϲ; αἰδέομαι δὲ
μίϲγεϲθ' ἀθανάτοιϲιν, ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.
εἶμι μέν, οὐδ' ἅλιον ἔποϲ ἔϲϲεται, ὅττί κεν εἴπῃ.
ὣϲ ἄρα φωνήϲαϲα κάλυμμ' ἕλε δῖα θεάων
κυάνεον, τοῦ δ' οὔ τι μελάντερον ἔπλετο ἔϲθοϲ.
βῆ δ' ἰέναι, πρόϲθεν δὲ ποδήνεμοϲ ὠκέα Ἶριϲ
ἡγεῖτ'· ἀμφὶ δ' ἄρά ϲφι λιάζετο κῦμα θαλάϲϲηϲ.
ἀκτὴν δ' ἐξαναβᾶϲαι ἐϲ οὐρανὸν ἀιχθήτην,
εὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντεϲ
εἵαθ' ὁμηγερέεϲ μάκαρεϲ θεοὶ αἰὲν ἐόντεϲ.
ἡ δ' ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη.
Ἥρη δὲ χρύϲεον καλὸν δέπαϲ ἐν χερὶ θῆκε,
καί ῥ' εὔφρηνʼ ἐπέεϲϲι· Θέτιϲ δ' ὤρεξε πιοῦϲα.
τοῖϲι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
ἤλυθεϲ Οὔλυμπον δὲ θεὰ Θέτι κηδομένη περ,
πένθοϲ ἄλαϲτον ἔχουϲα μετὰ φρεϲίν· οἶδα καὶ αὐτόϲ·
ἀλλὰ καὶ ὣϲ ἐρέω τοῦ ϲ' εἵνεκα δεῦρο κάλεϲϲα.
ἐννῆμαρ δὴ νεῖκοϲ ἐν ἀθανάτοιϲιν ὄρωρεν
Ἕκτοροϲ ἀμφὶ νέκυι καὶ Ἀχιλλῆι πτολιπόρθῳ·
κλέψαι δ' ὀτρύνουϲιν ἐΰϲκοπον ἀργεϊφόντην·
αὐτὰρ ἐγὼ τόδε κῦδοϲ Ἀχιλλῆι προτιάπτω,
αἰδῶ καὶ φιλότητα τεὴν μετόπιϲθε φυλάϲϲων.

V. L. 90 τίπτέ με AC Cram. An. Par. III, 161, 2. μ' ἐκεῖνοϲ Suidas I, 2, 131, 21. — 92 ἔπωϲ οὔϲϲεται G. ὅττί κεν A. εἴποι G. — 93 ὡϲ A. κάλυμ' D. — 94 ἔθοϲ pro ἔϲθοϲ H. — 96 ἀμφι D. ἄρά ϲφι A. δέ ϲφι E. λάζετο D. — 97 εἰϲ ἀναβᾶϲαι AL. εἰϲαναβᾶϲαι CEGHS conf. C 68. ἀνηχθήτην L Lips. ἠϊχθήτην Aristonicus ad 104. — 98 εὗρεν Vrat. A. περι D. — 100 ἠδ' CHL. παρ D. — 101 χειρὶ D. χερϲὶ Lips. τίθει L. θῆκε ACEGH. — 102 εὔφρηνʼ CG. ὤρεξ' ἐπιοῦϲα L Lips. — 104 οὔλυμπον δὲ AD. — 105 μετα AD. — 106 ὡϲ ADG: ceteri ὧϲ. τοῦ γ' D. κάλεϲα G. — 108 ἀμφι D. νέκυϊ ACDEGH. ἀχιλῆϊ CD. — 109 ὀτρύνεϲκον C Lips. Townl. Vrat. b. d. Mosc. 2. ὠτρύνεϲκον ELS Schol. A 132. conf. 24. — 110 ἀχιλῆϊ C Flor. προτιἄπτω A. προϊάπτω Mor. Vrat. A. Mosc. 2. Cram. Ep. 369, 12. γράφεται κατά τινα τῶν ἀντιγράφων προϊάπτω Eust. 1341, 42. — 111 μετ' όπιϲθε A.

A. c. 94 ἔϲθοϲ Herodianus ψιλῶϲ. — 96 ἄρά ϲφι, canf. Ξ 134. θ 480. κ 415. τ 464. υ 348. H. T. 413. — 97 ἀρίϲταρχοϲ ἐξαναβᾶϲαι καὶ αἱ πλείουϲ Didymus. — 109 ἡ Μαϲϲαλιωτικὴ ὀτρύνουϲιν. οὕτωϲ καὶ ἡ Χία Didymus. — 110 προτιἄπτω Apollodorus, Aretades, Neoteles, Dionysius Thrax: προϊάπτω Zenodotus et Aristarchus. ἐν τῷ Ἀχιλλῆϊ προϊάπτω ἀμφίβολοϲ ἡ γραφή, εἰ προϊάπτω εἴτε προτιάπτω Cram. Ep. 369, 12.

αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ καὶ υἱέι σῷ ἐπίτειλον.
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν, οὐδ' ἀπέλυσεν,
αἴ κέν πως ἐμέ τε δείσῃ ἀπό θ' Ἕκτορα λύσῃ.
αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.
    ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα,
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξασα.
ἷξεν δ' ἐς κλισίην οὗ υἱέος· ἔνθ' ἄρα τόν γε
εὗρ' ἀδινὰ στενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντο ἄριστον·
τοῖσι δ' ὄις λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
ἣ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,
χειρί τέ μιν κατέρεξεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
    τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτέ τι σίτου
οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
ἀλλ' ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι.
σκύζεσθαι σοί φησι θεούς, ἓε δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν

V. l. 113 εἶπε D. — 114 μαινομένηισι DH Vrat. A. μαρναμένῃσιν Lips. — 115 ἀπέλυσε H. — 116 αἴ κεν πως G. ἀπο θ' D. ἀπο δ' L. — 117 ἐγὼ omitt. D. — 119 ἀχιλῆϊ CD. ἰείνη H. — 120 ὡς A. — 121 omitt. Vrat. b. — 122 ἐν δ' CLS editores usque ad Wolfium. γρ. ἐν δ' ἄρα τόνγε A. εὗρε δεινά H. αδινὰ A. ἀμφ' αὐτῷ L Lips. — 124 ἐπαίνοντο (ε supra) H. ἐτύνοντο H. τε πένοντο Athenaeus I, 11. ἐντύναντο Schol. Θ 53. — 125 ἱέρατο L. ἱερᾶτο Lips. — 126 ἣ δὲ C. ἠδ' ἐμάλλ' (+ supra) H (sic). — 127 ὀνόμαζε ACGHL. — 129 ἔδαιε A. αἴδεαι C 1. man. οὔτέ τι CEH. οὔτε τι D Harl. Townl. Vrat. A. Mosc. 2. Rom. οὐδέ τι AGLS Lips. Flor. CΕΙΤΟΥ Pap. 1. man. — 130 οὐδ' D. καλὸν δὲ Vrat. A. δὲ omitt. L Lips. — 131 βαίῃ CL. — 132 παρέστηκε CEG Lips. Vrat. A. Flor. — 133 ἄγγελος εἰμὶ L. — 134 σκύζεσθαί σοι φησὶ ACDEGHL. ἕε L. — 135 μαινομένηισι D.

A. c. 125 τοῖσιν δ' οἶς Ptolemaeus Ascalonita? conf. Herod. ad Γ 198. Cram. Ep. 321, 15. οὕτως ἀρίσταρχος ἑνικῶς ἐν κλισίῃ Didymus. — 130—132 ἀθετοῦνται στίχοι τρεῖς Aristonicus. — 134 ἕέ Callistratus et Aristarchus δασέως.

῞Εκτορ᾽ ἔχειϲ παρὰ νηυϲὶ κορωνίϲιν, οὐδ᾽ ἀπέλυϲαϲ.
ἀλλ᾽ ἄγε δὴ λῦϲον, νεκροῖο δὲ δέξαι ἄποινα.
    τὴν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ ᾿Αχιλλεύϲ·
τῇδ᾽ εἴη· ὃϲ ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
εἰ δὴ πρόφρονι θυμῷ ᾿Ολύμπιοϲ αὐτὸϲ ἀνώγει.
    ὣϲ οἵ γ᾽ ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸϲ
πολλὰ πρὸϲ ἀλλήλουϲ ἔπεα πτερόεντ᾽ ἀγόρευον.
῏Ιριν δ᾽ ὤτρυνε Κρονίδηϲ εἰϲ ῎Ιλιον ἱρήν·
    βάϲκ᾽ ἴθι ῏Ιρι ταχεῖα· λιποῦϲ᾽ ἕδοϲ Οὐλύμποιο
ἄγγειλον Πριάμῳ μεγαλήτορι ῎Ιλιον εἴϲω
λύϲαϲθαι φίλον υἱὸν ἰόντ᾽ ἐπὶ νῆαϲ ᾿Αχαιῶν,
δῶρα δ᾽ ᾿Αχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μὴ δέ τιϲ ἄλλοϲ ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρύξ τίϲ οἱ ἕποιτο γεραίτεροϲ, ὅϲ κ᾽ ἰθύνοι
ἡμιόνουϲ καὶ ἅμαξαν ἐύτροχον, ἠδὲ καὶ αὖτιϲ
νεκρὸν ἄγοι προτὶ ἄϲτυ, τὸν ἔκτανε δῖοϲ ᾿Αχιλλεύϲ.
μηδέ τί οἱ θάνατοϲ μελέτω φρεϲὶ μηδέ τι τάρβοϲ·
τοῖον γάρ οἱ πομπὸν ὀπάϲϲομεν ἀργεϊφόντην,
ὃϲ ἄξει, εἵωϲ κεν ἄγων ᾿Αχιλῆι πελάϲϲῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃϲιν ἔϲω κλιϲίην ᾿Αχιλῆοϲ,
οὔτ᾽ αὐτὸϲ κτενέει ἀπό τ᾽ ἄλλουϲ πάνταϲ ἐρύξει·
οὔτε γάρ ἐϲτ᾽ ἄφρων οὔτ᾽ ἄϲκοποϲ οὔτ᾽ ἀλιτήμων,

---

V. ι. 136 παρα A. — 137 ἀλλά γε E 1341, 63; sed 1342, 40 ἀλλ᾽ ἄγε. δὲ, δέξαι L. ΔЄΞЄ Pap. 1. man. — 138 τήνδὲ H. ἀχϊλεύϲ C. — 139 πῆ δ᾽ εἴη L Lips. τῇ εἴη Schol. δ 229. ἐν ἄλλῳ τῆι εἴη ὃϲ δῶρα φέρει A. εἴη ὃϲ omitt. H. φέροι omitt. L. φέρει H Schol. δ 229. ἄροιτο S Flor. — 140 ἀνώγοι (?) D. — 141 ώϲ A. ΑΓΥΡΙ Pap. 1. man. μήτηρ τὲ A. — 142 ἀγόρευεν D. — 143 εἰϲ omitt. L. — 144 ἕδοϲ CD. — 145 ἄγγελον H et in marg. man. rec. ἀγγελίην. εἴϲῳ G. — 146 ἐπι A. — 147 ἀχϊλῆϊ CD. XЄ pro κε Pap. 1. man. — 148 οἶον GH. μὴ δέ AC EG. — 149 κήρυξ EL. τιϲ οἱ G. COI Pap. 1. man. ἰθύνει DG Lips. Harl. Vrat. A. ἰθύνῃ E. ἰθύνη H. ἰθύνειν Rom. — 150 ἅμαξαν CEGH. ἡ δὲ A. ἤ κε D Townl. γρ. ἤ κε A. αὖθιϲ CL Lips. — 151 προτιάϲτυ D. προτι A. ἀχϊλεύϲ C. — 152 τι ante οἱ omitt. Pap. μὴ δέ τι CG. τι οἱ DL. μὴ δέ τι τάρβοϲ AG. — 153 ὀπόϲϲομεν G. — 154 ὅϲϲ᾽ ἄξει D. ὃν (c superscr.) ἄξει H. ΑΧΙΛΛΗΙ Pap. πελάϲῃ DH. — 156 ἀπο τ᾽ D. ἐρύξοι H. — 157 ΓΑ Pap. 1. man.

---

A. c. 148 οὕτωϲ διὰ τοῦ ν̄ οἶον Didymns. οἶον δὲ γραπτέον, οὐχ οἷοϲ Schol. V. — 154 ὅϲ Ϝ᾽ ἄξει primo scriptum fuisse colligo ex v. 183 ὅϲ ϲ᾽ ἄξει.

ἀλλὰ μάλ᾽ ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
ἷξεν δ᾽ ἐς Πριάμοιο, κίχεν δ᾽ ἐνοπήν τε γόον τε.
παῖδες μὲν πατέρ᾽ ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
δάκρυσιν εἵματ᾽ ἔφυρον, ὁ δ᾽ ἐν μέσσοισι γεραιὸς
ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος· ἀμφὶ δὲ πολλὴ
κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος,
τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.
θυγατέρες δ᾽ ἀνὰ δώματ᾽ ἰδὲ νυοὶ ὠδύροντο
τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
χερσὶν ὑπ᾽ Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα
τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμος ἔλλαβε γυῖα·
θάρσει Δαρδανίδη Πρίαμε φρεσί, μὴ δέ τι τάρβει·
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ᾽ ἱκάνω,
ἀλλ᾽ ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὅς σευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
λύσασθαί σ᾽ ἐκέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
δῶρα δ᾽ Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μὴ δέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.

---

V. l. 158 ἐνδικέως H Lips. — 159 ὡς A. φάτο L. ἔφατο G. δ᾽ ἶρις L Lips. — 160 ἵξεν A. ἵξεν H. δὲ πριάμοιο D. κίχέν τ᾽ L. — 161 ἀμφι ACDEHL. ἄμφι G Vrat A. ἔνδοθεν ταύτης H et in marg. αὐλῆς. — 162 ἔφερον L Lips. ὅδ᾽ CGHL. μέσοισι E. — 164 κεφαλήν τε καὶ αὐχένα Townl. — 165 TH Pap. 1. man. ῥὰ L. κατεμήσατο S Pap. Cant. Mor. Vrat. d. Lips. Flor. Apoll. Soph. 97, 5. κατεμόσατο G. καταμέσατο H. conf. ε 482. ἑῇσι ACE. ἐῇσι GH. γρ. φίλῃσι A. — 166 ἀνα DH. οἱ δὲ νυοὶ D. ἠδὲ νυοὶ CG Vrat. A. ὀδύροντο C. — 167 τῶν: τὴν G. — 168 ὑπαργείων A. — 169 παρα A. παρ C Flor. — 170 ΦΘΕΝΞΑΜΕΝΗ Pap. τόνδε DG. ἐν δὲ L. ἔλαβε CD Lips. Flor. — 171 μὴ δέ A. τάρβοις H, σ add. 2. man. — 172 γάρ τε S. ἐγὼν L. — 173 δέ τι H. ἄγγελος εἰμί HL. — 174 ὃς σεῦ AH. — 175 λύσασθαί (ε supra α) A. λύσεσθαι Vrat. A. σε κέλευσεν AHLS Cant. Lips. Vrat. A. γρ. σ᾽ ἐκέλευσεν A. σ᾽ ἐκέλευεν Townl. Vrat. d. — 176 ἀχϊλῆϊ C Flor. Rom. τά κεν D. — 177 οἶος G Flor. οἶον H. μὴ δέ τις CGL. τρῴων L.

---

A. c. 163 τινὲς γράφουσιν ῇ χλαίνῃ, καὶ ἄμεινον Schol. V. — 175 asteriscus: οὐκ ὀρθῶς B 27, 64. — 192 ἀρίσταρχος κεδάνδει (sic) Schol. A. οὕτως ἀρίσταρχος κεχάνδη διὰ τοῦ η̄ ἀντὶ τοῦ κεχάνδε (sic) ἡ δὲ μασσαλιωτικὴ πολλὰ κεκεύθει Didymus. ex scholio interiecto, quod non ab οὕτως incipit, patet Aristarchi lectionem diversam fuisse ab ea quae est in textu cod. Veneti A. itaque non assentior Heynio, qui Aristarcho κεχάνδει tribuit, sed κεχάνδη eum scripsisse puto, ut ἤδη.

κῆρύξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
ἡμιόνους καὶ ἅμαξαν ἐύτροχον, ἠδὲ καί αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί τοι θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται ἀργεϊφόντης,
ὅς ϲ' ἄξει, εἵως κεν ἄγων Ἀχιλῆι πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
ἣ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ ὅ γ' υἷας ἅμαξαν ἐύτροχον ἡμιονείην
ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς.
αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα,
κέδρινον, ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει·
ἐς δ' ἄλοχον Ἑκάβην ἐκαλέσσατο φώνησέν τε·
δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.
ἀλλ' ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται εἶναι;
αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἄνωγε
κεῖσ' ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.
ὣς φάτο, κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθῳ·

---

V. L. 178 κήρυξ DL. ὅϲ κεν G Vrat. d. ЄΙΘΥΝΟΙ Pap. — 179 ἅμαξαν CGH. ἠδὲ (κ) A. ἤκε D Townl. ΗЄ Pap. αὖθις C conf. 150. — 180 προτιάστυ AD. ἀχϊλεύς C. — 181 μηδέ τι τοι ADGHL. τοι omitt. Pap. 1. man. μὴ δέ τι τάρβος C. τάρβει Vrat. A. — 183 ὃς ἄξει DH. ὥς κεν D. εἵως μὲν H. ἀχιλλῆι H. πελάσσει Vrat. d. — 184 ἔσω: ἔξω C 1. man. — 185 ἄπο τ' D. — 186 γὰρ ἔστ' ACDG. — 187 ἐνδικέως Lips. ἱκέτεο πεφίσεται G. — 188 ἣ μὲν C. ἆρ ADGHL. — 189 ὅγ': OC Pap. 1. man. ἅμαξαν CEGH. ἡμιονίην G Vrat. A. Lips. — 190 ΩΠΛΙCΑΙ Pap. ὁπλίσσαι D Flor. ἠνώχει H. ἀπ' αὐτῆς Barocc. — 191 κατεβήσατο D. κατεδύσσετο L. κατεδύσατο Lips. Vrat. A. κατεβήσετο ζώεντα H. — 192 ὑψίροφον Apoll. Soph. 154, 29. ὑψόρροφον D. γλῆνα H. πολλὰ κεχάνδει ADEG HLS Pap. 1. man. Apoll. Soph. 54, 32. 154, 29. Schol. N 340. Ξ 183. α 44. κεχάνδη C Pap. 2. man. Harl. Mosc. 2. ἐκεχάνδει Apoll. Soph. 65, 21. — 193 ЄΚΑΒΗ Pap. — 194 ἦλθε ACDGH. — 195 ἔπι A. — 196 ἀχϊλῆϊ C. — 198 γὰρ μ' D. ἀνώγει ACDEGHLS. — 200 ὥς A.

---

A. c. 198 ἀρίσταρχος ἄνωγεν ἔξω τοῦ ῑ Didymus. Aristarchum ἄνωγε, non ἄνωγεν scripsisse docui H. U. 162. — 200 ἀρίσταρχος ἀνήρετο μύθῳ Didymus.

ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ᾽, ᾗς τὸ πάρος περ
ἔκλε᾽ ἐπ᾽ ἀνθρώπους ξείνους ἠδ᾽ οἷςιν ἀνάςςεις;
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐςθλοὺς
υἱέας ἐξενάριξε· ςιδήρειόν νύ τοι ἦτορ.
εἰ γάρ ς᾽ αἱρήςει καὶ ἐςόψεται ὀφθαλμοῖςιν
ὠμηςτὴς καὶ ἄπιςτος ἀνὴρ ὅ γε, οὔ ς᾽ ἐλεήςει,
οὐδέ τί ς᾽ αἰδέςεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρῳ· τῷ δ᾽ ὥς ποθι μοῖρα κραταιὴ
γεινομένῳ ἐπένηςε λίνῳ, ὅτε μιν τέκον αὐτή,
ἀργίποδας κύνας ἆςαι ἑῶν ἀπάνευθε τοκήων,
ἀνδρὶ πάρα κρατερῷ, τοῦ ἐγὼ μέςον ἧπαρ ἔχοιμι
ἐςθέμεναι προςφῦςα· τότ᾽ ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
ἀλλὰ πρὸ Τρώων καὶ Τρωιάδων βαθυκόλπων
ἑςταότ᾽, οὔτε φόβου μεμνημένον οὔτ᾽ ἀλεωρῆς.
  τὴν δ᾽ αὖτε προςέειπε γέρων Πρίαμος θεοειδής·
μή μ᾽ ἐθέλοντ᾽ ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ

V. l. 201 ᾤμοι ACDE. πῇ ADG: ceteri πῆ. ΟΙΧΟΝΤ Pap. ᾤχοντ᾽
γε ο
Mosc. 2. ὡς τὸ πάρος H. τοπάρος L. πάρος περ A. — 202 ἔκλε᾽ A. ἔκλε᾽ CDGH. ἔκλεο E bis. ἔκλετ᾽ L Lips. ἔκλυ᾽ Vrat. A. ξένους D. ἀνάςεις D. — 204 ὅς τις S Cant. τὲ C. — 205 ἐξενάριξεν ςιδήρειος δέ οἱ D. — 206 ἐςόψεαι Vrat. A. ὀφθαλμοῖςι D. — 207 ὅγε DG Pap. Townl. Barocc. Vrat. d. A. Mosc. 2. Flor. ceteri ὅδε. ΟΥΚΕΛΕΗCΕΙ Pap. 2. man. — 208 οὐδέ τι ς᾽ ACEGH. οὐδέ τις DL Lips. αἰδέςςεται G Lips. κλαίομεν L Lips. Vrat. A. — 210 γεινομένῳ omnes. ὅτέ L. — 211 ἀργείποδας D. ΕῺΝ Pap., acc. 2. man. add. ἑὼν EH. ἑῶν G. — 212 παρα AH. παρὰ DEG Schol. A 25. — 213 πρὸς φῦςα D. ἄντιτα ACDELS. ἂν τιτὰ GH. — 214 ἘΟΥ Pap. 2. man. ΕΠΙΟΥΤΙ Pap. 1. man. — 215 πρὸ ACEGH. πρὸς DL Lips. Vrat. d. ΠΡΟC Pap. εἰ γράφεται πρὸς τρώων, φέρεται γὰρ καὶ τοιαύτη γραφή, δηλοῖ τὸ ἔμπροςθεν Eust. 1346, 9. τρῴων L. — 217 προςέειπεν D. — 218 κατερύκακε D ex corr. S Cant. Lips. Vrat. A. μὴ δέ μοι CDGL. μηδέ τι Vrat. A.

A. c. 202 ἔκλε᾽ Herodianus: ἐκλέ᾽ Ptolem. Ascalonita. in formis mediis verborum contractorum in ε̅ω̅, in quibus alterum ε̅ excidit, accentus est incertus, conf. ἀποαίρεο A 275. μύθεαι β 202. πώλεαι δ 811. — 205 ὅτι ὑποτάςςουςι ςτίχον „ἀθάνατοι ποίηςαν Ὀλύμπια δώματ᾽ ἔχοντες“ Aristonicus. τινὲς ἐξήνεξε, τῆς ἀρχῆς ἐξέβαλε Schol. V. — 210 asteriscus: οὐ καλῶς Υ 128. — 213 Ptolem. Ascalonita cum plerisque ἄντιτα: ἂν τιτὰ Apollodorus et Callistratus, conf. ρ 51. 60. παλίντιτα ἔργα α 379. β 144. — 214 οὕτως ἐπεὶ οὔ ἑ, αἱ δὲ κοιναὶ ἐπεὶ οὔτι Didymus. αἱ κοιναὶ ἤγουν αἱ πλείους ἐκδόςεις γράφουςιν ἐπεὶ οὔτι Eust. 1346, 6. — 215 πρό: οὕτω χωρὶς τοῦ ς̅ Didymus.

ὄρνιϲ ἐνὶ μεγάροιϲι κακὸϲ πέλευ· οὐδέ με πείϲειϲ.
εἰ μὲν γάρ τίϲ μ' ἄλλοϲ ἐπιχθονίων ἐκέλευεν,
ἢ οἳ μάντιέϲ εἰϲι, θυοϲκόοι ἢ ἱερῆεϲ,
ψεῦδόϲ κεν φαῖμεν καὶ νοϲφιζοίμεθα μᾶλλον·
νῦν δ', αὐτὸϲ γὰρ ἄκουϲα θεοῦ καὶ ἐϲέδρακον ἄντην,
εἶμι, καὶ οὐχ ἅλιον ἔποϲ ἔϲϲεται. εἰ δέ μοι αἶϲα
τεθνάμεναι παρὰ νηυϲὶν Ἀχαιῶν χαλκοχιτώνων,
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺϲ
ἀγκὰϲ ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην.
ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν,
ἔνθεν δώδεκα μὲν περικαλλέαϲ ἔξελε πέπλουϲ,
δώδεκα δ' ἁπλοΐδαϲ χλαίναϲ, τόϲϲουϲ δὲ τάπηταϲ,
τόϲϲα δὲ φάρεα καλά, τόϲουϲ δ' ἐπὶ τοῖϲι χιτῶναϲ.
χρυϲοῦ δὲ ϲτήϲαϲ ἔφερεν δέκα πάντα τάλαντα,
ἐκ δὲ δύ' αἴθωναϲ τρίποδαϲ, πίϲυραϲ δὲ λέβηταϲ,
ἐκ δὲ δέπαϲ περικαλλέϲ, ὅ οἱ Θρῆκεϲ πόρον ἄνδρεϲ
ἐξεϲίην ἐλθόντι, μέγα κτέραϲ· οὐδέ νυ τοῦ περ
φείϲατ' ἐνὶ μεγάροιϲ ὁ γέρων, περὶ δ' ἤθελε θυμῷ
λύϲαϲθαι φίλον υἱόν. ὁ δὲ Τρῶαϲ μὲν ἅπανταϲ
αἰθούϲηϲ ἀπέεργεν ἔπεϲϲ' αἰϲχροῖϲιν ἐνίϲϲων·

V. L. 219 ἐνι A. ἐν E. ἐνὶμμεγάροιϲϊ C. ΕΝΙΜΜΕΓΑΡΟΙϹΙ Pap. κακὸϲ (ν superscr.) A. κακῇ Harl. Mosc. 2. — 220 γάρ τιϲ μ' ADGL. ἐκέλευε D. ἐκέλευϲεν H Vrat. d. — 221 ἢ εἰ et in marg. οἵοι L. οἷοι μᾶλλον δὲ ἢ οἳ Eust. θυοϲκόοι A. — 222 κε et κεν E. — 224 οὐχ' ἅλιον ἔποϲ ἔϲϲεται ἢ οὐχ' ἀλίη ὁδὸϲ ἔϲϲεται Eust. 1346, 22. — 225 ΧΑΛΚΟΚΙΤΩΝΩΝ Pap. — 226 κατακτείνειν L. ἀχῖλεύϲ C. — 227 εἴην DGH Lips. Flor. ἔην L. — 228 ἧκεν H. ἐπιθύματα L Lips. ἀνέωιγε D Vrat. A. — 231 λευκὰ ACHL Pap. Townl. Vrat. b. καλὰ DEGS cum aliis. conf. ω 277. B 43. Ω 588. γ 467. ψ 155. φάρεϊ λευκῷ C 353. ἐπι A. τῇϲι C. ΚΙΤΩΝΑϹ Pap. 1. man. — 232 δ' ἔϲτηϲαϲ H 1. man. ἔφερε D. δέκα omitt. L Lips. — 233 αἴθωναϲ λέβηταϲ πίϲυραϲ δὲ τρίποδαϲ D. — 234 ΤΟ pro ὅ Pap. θρήϊκεϲ CG Townl. — 235 ἐξέϲίην AC. ἐξεϲίηνδ' Lips. Mosc. 2 ἐξεϲίηνδ' ἢ ἐξεϲίην E. ἐξ ἀϲίηϲ ἐλθόντι D. — 236 ἐνι A. ἐνῒμμεγάροιϲ (ιν superscr.) C, ιν add. 2. man. μεγάροιϲ' E. μεγάροιϲ ὠμογέρων L. περι DL. — 237 τρῷαϲ L. — 238 αἰθούϲϲηϲ A Pap. ἐπέεργεν L. ἀπέργεν ἢ ἀνέργεν Eust. 1347, 53. ἐνίϲπων S Cant. Vrat. d. ἐνίπτων Eust. 1347, 53 et 56. γράφεται καὶ ἐνίϲϲων Eust. 1347, 57. αἰϲχροῖϲι β[άλλ]ων D.

A. c. 222 asteriscus: οὐκ ὀρθῶϲ B 81. — 228 φωριαμῶν Aristarchus. Ἡρωδιανὸϲ περὶ Ἀττικῶν προϲῳδιῶν, τρίτη ἀπὸ τέλουϲ ἡ ὀξεῖα (φωρίαμοϲ), οὐχ ὡϲ ἀνάλογον ἀλλ' ὡϲ Ἀττικόν. ἡ μέντοι ϲυνήθεια ὀξυνόμενον ἔχει Et. Mg. 804, 20. — 235 ἐξέϲίην Aristarchus et Nicias: ἐξεϲίην Neoptolemus Parianus.

ἔρρετε λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
οἴκοι ἔνεςτι γόος, ὅτι μ' ἤλθετε κηδήςοντες;
ἦ ὀνόςαςθ' ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,
παῖδ' ὀλέςαι τὸν ἄριςτον; ἀτὰρ γνώςεςθε καὶ ὔμμες.
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖςιν δὴ ἔςεςθε
κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἐγώ γε,
πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
ὀφθαλμοῖςιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴςω.
ἦ, καὶ ςκηπανίῳ δίεπ' ἀνέρας· οἳ δ' ἴςαν ἔξω
ςπερχομένοιο γέροντος. ὃ δ' υἱάςιν οἷςιν ὁμόκλα,
νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον
Πάμμονά τ' Ἀντίφονόν τε, βοὴν ἀγαθόν τε Πολίτην
Δηίφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγαυόν·
ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήςας ἐκέλευε·
ςπεύςατέ μοι κακὰ τέκνα, κατηφόνες. αἴθ' ἅμα πάντες
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῇς ἐπὶ νηυςὶ πεφάςθαι·
ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίςτους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινά φημι λελεῖφθαι,
Μήςτορά τ' ἀντίθεον καὶ Τρώιλον ἱππιοχάρμην,

---

V. c. 239 ΥΜΕΙΝ Pap. — 240 οἴκοι ἐςτὶ HL Lips. Plutarchus de Cohibenda ira 14. — 241 οὔνεςθ' ACDEGHL. ἤ τ' οὔνεςθ' S. ἦ τ' οὔνεςθε Cant. ὄνεςθ' Schol. P 399. ὀνόςαςθε Apoll. Soph. 124, 25. ΗΟΥΝΕϹΘΟΤΕ Pap. 1. man. Η'ΟΝΟϹΕϹΘ' ὍΤΙ 2. man. ἔδωκε CEGH. ἔδωκε (θη) A. ἔδωκεν DL Pap. ἔθηκε Townl. Vrat. A. — 242 ὔμμες GH. ὔμες Lips. ὔμμε Vrat. A. — 243 ἀχαιοῖςι DEH Lips. ΔΗϹΕϹΘΑΙ (η) Pap. 1. man. — 244 τεθνειῶτος CDEG Pap. (sine acc.) τεθνειῶτος A. ἀτὰρ E. — 245 ἀλαπαξαμένην L Lips. — 247 οἵδ' CDGHL. ἔζω G. — 248 ὅδ' CDGHL. — 250 ἄντιφόν τε D. 'ΑΜΦΙΦΟΝΟΝ Pap. 1. man. — 251 δῖον ἀγαυόν HL, ita ut Ἀγαυόν sit nomen proprium, conf. Et. Gud. 3, 56. — 252 ἐκέλευε ACDGH. ἐκέλευςε Ambr. (sine acc. et spir.) Townl. Vrat. d. Lips. ἐκέλευςεν L Pap. (sine acc. et spir.). — 253 κατηφέες D. — 254 ΩϹΩΦΕΛ Pap. 1. man. ΩΦΕΛΛΕΤ' 2. man. ὀφέλλετ' C. ἄντι C. πεφᾶςθαι CG. — 255 ᾥμοι ACE. πανάποτμος A. — 256 οὔτινα φημὶ ADEGHL. ΛΕΛΕΙΠΤΑΙ Pap. 1. man. — 257 ἱππιοχάρμην A. μεναιχάρμην D.

---

A. c. 239 ἐλεγχέες Aristarchus, conf. Schol. Ε 787 et ad Δ 242. — 241 ἀρίςταρχος ἤ ὀνόςαςθ' Didymus. οὔνεςθε schol. Aristonici. — 247 δίέπ' (δαςέως) Ἀρίςταρχος καὶ οἱ πλείους Herodianus. — 251 ἄδηλον, πότερόν ἐςτι τὸ κύριον ὁ Δῖος ἢ ὁ Ἀγαυός Aristonicus. Φερεκύδης τὸν Δῖον νόθον υἱὸν Πριάμου φηςὶν Schol. V. — 253 Aristarchus κατφηόνες: κατηφέες Crates.

Ἕκτορά θ', ὃϲ θεὸϲ ἔϲκε μετ' ἀνδράϲιν, οὐδὲ ἐῴκει
ἀνδρόϲ γε θνητοῦ πάιϲ ἔμμεναι, ἀλλὰ θεοῖο·
τοὺϲ μὲν ἀπώλεϲ' Ἄρηϲ, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
ψεῦϲταί τ' ὀρχηϲταί τε, χοροιτυπίῃϲιν ἄριϲτοι,
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρεϲ.
οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίϲϲαιτε τάχιϲτα,
ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήϲϲωμεν ὁδοῖο;
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πατρὸϲ ὑποδείϲαντεϲ ὁμοκλὴν
ἐκ μὲν ἄμαξαν ἄειραν ἐύτροχον ἡμιονείην,
καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆϲαν ἐπ' αὐτῆϲ,
κὰδ δ' ἀπὸ παϲϲαλόφι ζυγὸν ᾕρεον ἡμιόνειον,
πύξινον ὀμφαλόεν, εὖ οἰήκεϲϲιν ἀρηρόϲ·
ἐκ δ' ἔφερον ζυγόδεϲμον ἅμα ζυγῷ ἐννεάπηχυ.
καὶ τὸ μὲν εὖ κατέθηκαν ἐυξέϲτῳ ἐπὶ ῥυμῷ,
πέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἕϲτορι βάλλον,
τρὶϲ δ' ἑκάτερθεν ἔδηϲαν ἐπ' ὀμφαλόν, αὐτὰρ ἔπειτα
ἑξείηϲ κατέδηϲαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.

---

V. ι. 258 ΤΕΟϹ Pap. 1. man. Τ' ΟϹ 2. man. pro θ' ὃϲ. ΟΥΤΕ Pap. 1. man. — 259 θνητοῖο D. παῖϲ L Lips. ΕΜΜΕΝΕ Pap. 1. man. — 261 τ' omitt. L. χορητυπίῃϲιν D. — 262 ἀνδρῶν ἠδ' L. — 263 ἅμαξαν CDEGH. ἐφοπλίϲητε C Lips. ἐφοπλίϲϲητε HL. ἐφοπλίϲετε D. ἐφοπλίϲαιτε G edd. vett. ἐφοπλίϲητε ἢ ἐφοπλίϲαιτε E. ΕΦΩΠΛΙϹϹΕΙΤΕ Pap. 1. man. — 264 ΕΠΙΤΕΙΘΕ Pap. 1. man. ἐπιθῆτε H Vrat. d. οἱ δὲ γράφοντεϲ ἐπιθῆτε διὰ τοῦ η ποιοῦϲιν οὕτω πρὸϲ ἀκολουθίαν τοῦ ἐφοπλίϲϲητε Eust. 1349, 28. πρήϲωμεν CG Vrat. A. — 265 ὡϲ A. ΕΦΑΤ Pap. οἳ δ' D. οἵδ' CL. ὑποδείϲαντεϲ D. ὑποδείϲαντεϲ (δ superscr.) C. ceteri ὑποδδείϲαντεϲ. — 266 ἓκ A. ἅμαξαν CDEGH Vrat. A. εὔτροχον D. ἡμιονίην G. — 267 πρωτοπαγέα ADEHL Pap. 1. man. Lips. Rom. Apoll. Soph. 135, 7. πρωτοπαγῆ CGS Pap. 2. man. Barocc. Harl. Mor. Townl. Vrat. d. δεῖϲαν D. δ' ἔδηϲαν L. — 268 καδδ' ACDGH. καδδαπὸ L. παϲϲαλόφιν CDEGHL. conf. H. U. 45. ἤρεον C. — 269 ὀμφαλόεντ' DGS Lips. Vrat. A. Flor. et vulgo ante Wolfium. ὀμφαλόεν habent ACEHL Harl. οἰήκεϲιν D. ἀρηρότα L Lips. καθαρὸϲ ἐν τέλει δάκτυλοϲ L in marg. — 270 δὲ φερον H. ζυγόδεϲμον A. ἐννεάπηχυν CG Vrat. A. Flor. — 271 εὐξέϲτω D. — 272 ἐπὶ πρώτῃ CDEGHL: ἔπι A Cram. Ep. 339, 10. 368, 18. ἐπι δὲ A. ἕϲτορι: τινὲϲ δὲ γράφουϲιν ἕκτορι Et. Mg. 383, 25. βάλον DH Lips. — 273 ΕΚΑΤΕΡΘΕ Pap. 1. man. — 274 ἔδηϲαν D (om. κατ). ὑπο

---

V. ι. 264 ἐπιθεῖτε ὡϲ διακρινθεῖντε τάχιϲτα (Γ 102) Schol. V. — 269 οὐκ ἦν παρὰ Ζηνοδότῳ οὗτοϲ ὁ ϲτίχοϲ Didymus. — 272 ἕϲτορι Herodianus: τινὲϲ δὲ γράφουϲιν ἕκτορι. οἷον ἐχέτορι Schol. D. — 274 ἔκαμψαν Schol. V: ἔγναμψαν Schol. BM. ἔγναμψαν ferri non potest, nam ante γν nusquam, neque in medio neque in extremo vocabulo vocalis corripitur, conf. H. U. 5 et 17. Bekker. Hom. Bl. pg. 36. Thiersch. Gr. Graec. § 146, 7. not.

ἐκ θαλάμου δὲ φέροντες ἐυξέστης ἐπ᾽ ἀπήνης
νήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι᾽ ἄποινα,
ζεῦξαν δ᾽ ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς,
τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὁ γεραιὸς
αὐτὸς ἔχων ἀτίταλλεν ἐυξέστῃ ἐπὶ φάτνῃ.
τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε᾽ ἔχοντες·
ἀγχίμολον δέ σφ᾽ ἦλθ᾽ Ἑκάβη τετιηότι θυμῷ
οἶνον ἔχουσ᾽ ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,
χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
στῆ δ᾽ ἵππων προπάροιθεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
τῆ, σπεῖσον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ᾽ ἱκέσθαι
ἂψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ ἄρ σέ γε θυμὸς
ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.

---

V. l. DH. ΓΛΩΧΕΙΝΑ Pap. ἔκαμψαν D Pap. Harl. Townl. Mosc. 2. ἔκαμψαν (γν supra) A. ἔγναμψαν CGLS et olim vulgo. ἔγναμψαν ἤγουν ἔκαμψαν E. ἔγλαψαν (ν supra) H. ἔγναψαν Vrat. d. A — 275 ἐϋξέστης ACEGHLS Townl. Mosc. 2. Vrat. d. εὐξέστης D Vrat. A. ante Heynium legebatur ἐϋξέστου, conf. 280. — 276 νήνεον Mosc. 2. ἑκτορίης S. — 277 ζεῦξάν θ᾽ C. ἐντεσιεργοὺς A. ἐντεσιουργοὺς GS Cant. Mor. Harl. Mosc. 2. Flor. — 278 τοὺς ῥά C. δῶσαν G. — 279 ἵππους δὲ τρωοὺς C. τρωΐους Vrat. d. ut ψ 291. ζυγῷ DL. — 280 ἐϋξέστῃ ACEGL Barocc. Mor. Cant. Harl. Townl. Mosc. 2. Vrat. b. d. Flor. ἐϋξέστῳ HS Eust. 722, 1. Lips. Rom. εὐξέστω D. ἐπι A. — 281 ὑψηλοῖσι AGH. κήρυξ DEL. πυκνὰ Townl. Apoll. Soph. 166, 25. ἔχοντες libri mei cum Pap. ἔχοντι Apoll. Soph. 166, 25. Bekk. 2. in adnot. ἔχοντε affert, deceptus ab Heynio; qui illud ex Ven. A laudat. — 283 ἦλθεν L Lips. τετὺκότι θυμῷ H. — 284 χερσὶ H. δεξιτερῆφι ADGH. δεξιτερῆφι CEL. — 285 ὄφρ᾽ ἀλείψαντε G. — 286 προπάροιθ᾽ C. τ᾽ post ἔπος omitt. Pap. 1. man. ΕΠΟϹΤΈ ΜΙΝΑΝΤΊΟΝΗΥΔΑ Syr. ὀνόμαζε ACDGH. — 287 ΤΗ͂Ι Pap. 2. man. ΤΗ 1. man. τῆ G. — 288 ἈΨ᾽ Syr. δυσμενέων ἐχθρῶν L. — 289 ΟΤΡΥΝΕΙϹ Pap. 1. man.

---

A. c. 285 δέπαϊ ὄφρα offendit Clarkium; sed hiatus caesura tollitur et syllaba anceps in hac sede producitur, sicut Ὀδυσσῆι ἔθεσαν ζ 248. Ἡρακλῆι οὔτ᾽ θ 224. ὕδατι ἐπὶ κ 520. λ 28. add. ἔτεϊ ἐς π 206. τ 484. φ 208. ψ 102. 170. ω 322. φρέατι ὅθεν Hymn. V, 99. παλαιγενέϊ ἐναλίγκιος V, 101. πυρὶ ἔνι V, 248. σάκεϊ ἔλασ᾽ Υ 259. de ὄφρᾱ λείψαντε conf. ἀπ̄ολείψας Hesiod. Theog. 793. ἐπῑλείβων Apoll. Rhod. I, 1133. H. U. 53. ο 149 ubi versus noster iteratur, libri meliores ἐν δέπαϊ χρυσέῳ exhibent.

ἀλλ' εὔχεο cύ γ' ἔπειτα κελαινεφέι Κρονίωνι
Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶcαν ὁρᾶται,
αἴτει δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅc τέ οἱ αὐτῷ
φίλτατοc οἰωνῶν, καί εὑ κράτοc ἐcτὶ μέγιcτον,
δεξιόν, ὄφρά μιν αὐτὸc ἐν ὀφθαλμοῖcι νοήcαc
τῷ πίcυνοc ἐπὶ νῆαc ἴῃc Δαναῶν ταχυπώλων.
εἰ δέ τοι οὐ δώcει ἑὸν ἄγγελον εὐρύοπα Ζεύc,
οὐκ ἂν ἐγώ γέ c' ἔπειτα ἐποτρύνουcα κελοίμην
νῆαc ἐπ' Ἀργείων ἰέναι μάλα περ μεμαῶτα.
τὴν δ' ἀπαμειβόμενοc προcέφη Πρίαμοc θεοειδήc·
ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήcω·
ἐcθλὸν γὰρ Διὶ χεῖραc ἀναcχέμεν, αἴ κ' ἐλεήcῃ.
ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸc
χερcὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέcτη
χέρνιβον ἀμφίπολοc πρόχοόν θ' ἅμα χερcὶν ἔχουcα.
νιψάμενοc δὲ κύπελλον ἐδέξατο ἧc ἀλόχοιο·
εὔχετ' ἔπειτα cτὰc μέcῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰcανιδών, καὶ φωνήcαc ἔποc ηὔδα·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιcτε μέγιcτε,
δόc μ' ἐc Ἀχιλλῆοc φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν,
πέμψον δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅc τε cοὶ αὐτῷ

---

V. l. 290 omitt. Syr. in textu, add. 2. man. in marg. εὔχεο ACDHL Pap. Harl. Lips. Mosc. 2. Vrat. d. A. Schol. Ε 422. εὔχευ ἢ εὔχεο E. εὔχευ GS Cant. Rom. εὔχου Flor. Et. Mg. 547, 29. ΚΕΛΑΙΝΕΦΕΕΙ Pap. κελενεφέϊ G. — 291 τροίη H. κατα A. — 292 ταχὺν A et suprascr. τεον. ἑὸν Pap. Apoll. de Pron. 60 B. de Synt. 155, 27. ἐν ἄλλῳ ἑὸν ἄγγελον A. ὅc τέ οἱ ACDGL. vulgo ὅcτε οἱ. — 293 καὶ εὖ DE 1350, 56. GL Apoll. Soph. 78, 22. καὶ ἐΰκρατοc H. καί οἱ εὖ S. καὶ εὖ Townl. καί οἱ Mor. Harl. Mosc. 2. γρ. καὶ καί εὑ Eust. 1351, 47. ἐcτὶ μάλιcτα AC Vrat. A. γρ. μέγιcτον A. — 294 ὄφρά μιν ADHL. — 295 πίcυνο$^{c}$ν H. γρ. χαίρων ἐνι θυμῶι A. — 296 COI Pap. δέ τι L Barocc. Rom. τεὸν C. ἄγγελον ἑὸν D. — 297 ἔγωγέ libri. — 298 ἐπαργείων A. — 300 μέν τι Lips. τό$^{γ}$δ' A. τόγ' H Townl. τάδ' C. ΑΦΕΙΕΜΕΝ ΟΥΔ' Pap. 1. man. ΕΦΙΕΜΕΝΗΙ ΑΠΙΘΗCΩ Pap. 2. man. in marg. — 301 ἀνεcχέμεν L. — 302 ῥὰ CDL. ὄτρυν' Vrat. A. — 303 ΥΔΩΡ' Syr. ἐπιχεῦcαι Vrat. A. Athen. IX, 408. ἢ δὲ C. — 304 ἅμα φέρουcα D et ab ead. man. in marg. χερcὶν ἔχουcα. — 305 δέξατο Townl. Vrat. b. — 306 ἕρκει G. — 307 φωνήcαc. ἔποc A. φωνήcαc, ἔποc C. — 309 ἀχϊλῆοc C Syr. (sine acc. et spir.). — 310 ἐν ἄλλῳ ἑὸν ἄγγελον A.

---

A. c. 292 οἱ Herodianus, ἐγκλιτικῶc. — 293 εὑ Herodianus ad Ο 165: οὗ Zenodotus. — 304 ἀθετεῖται Aristonicus. πρόχοόν θ' ἅμα: ταμίη μετὰ Massiliensis.

φίλτατος οἰωνῶν, καί εὗ κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρά μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς.
αὐτίκα δ᾽ αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
μόρφνον θηρητῆρ᾽, ὃν καὶ περκνὸν καλέουσιν.
ὅσση δ᾽ ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
ἀνέρος ἀφνειοῖο, ἐυκλήις ἀραρυῖα,
τόσσ᾽ ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφι
δεξιὸς ἀΐξας ὑπὲρ ἄστεος. οἳ δὲ ἰδόντες
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
σπερχόμενος δ᾽ ὁ γέρων ξεστοῦ ἐπεβήσετο δίφρου,
ἐκ δ᾽ ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευε
καρπαλίμως κατὰ ἄστυ· φίλοι δ᾽ ἅμα πάντες ἕποντο
πόλλ᾽ ὀλοφυρόμενοι ὡς εἰ θάνατον δὲ κιόντα.

---

V. L. 311 καὶ εὖ GL. καὶ εὔκρατος H. εὐ C et man. rec. γρ. οἱ. καί οἱ εὖ S. καί οἱ Barocc. Harl. Vrat. b. ΜΕΓΙϹΤΟϹ Pap. 1. man. μάλιστα A et γρ. μέγιστον. — 312 ὄφρά μιν ACDHL. versum omitt. Mosc. 2. — 314 ὣς A. — 315 πετεεινῶν Harl. — 316 μορφνὸν S. θηρητὴν Vrat. A. — 318 ἀφνειοῦ καὶ εὖ κληῖσ᾽ Vrat. A. ἐϋκλήις AE. εὐκλῆϊς S. ἐϋκληῖς CGH Apoll. Soph. 100, 11. εὐκληῒς D. ΕΥΚΛΗΪ̀Ϲ Syr. εὐκλείης L. ΕΥΚΛΕΙΗϹ Pap. ἐυκληεὶς Lips. ἐυκλήης Townl. — 319 τόσ᾽ D. ΈϹΑΝ-ΠΥΡΟϹΕΊΑΤΟ (ΤΕ superscr.) Syr. add. τε 2. man. σφι CHL Syr. Vrat. A. Lips. — 320 ὑπὲρ ACDGHL. ΥΠΕΡ᾽ Syr. ΔΙΑ Pap. δι᾽ ἄστεος S Cant. Mosc. 2. Vrat. b. A. Flor. Rom. γρ. διαστεος A. οἳ δὲ C. — 321 ἐνι A. — 322 γέρων ξεστοῦ CDGHLS Syr. Pap. edd. vett. γεραιὸς ἑοῦ A Mor. γρ. ὁ γέρων ξεστοῦ ἐπεβίσετο A. ξεστοῦ erat etiam in Eust. codice, conf. 1352, 50. γεραιὸς ἑοῦ primus recepit Wolfius. ἐπεβήσατο G Lips. Vrat. d. Flor. — 323 ΈΛΑϹΕΝ Syr. δέλασε πρὸ θύροιο H. αἰθούσσης A Pap. ἐριδούπου A. ἐριγδούπου L Lips. — 324 πρόσθεν H. — 325 τὰς δ᾽ Vrat. A. [Ο]Π[Ι]ϹΘΕ Pap. — 326 τὰς ὁ Vrat. d. κέλευε ACDGH. — 327 ποτὶ ἄστυ S Cant. — 328 οἴκτρ᾽ ὀλοφυρόμενοι Vrat. d. ὡς εἰ A. vulgo ὡσεί. ὡς εἰς DS Cant. θάνατον δὲ A. ΘΑΝΑΤΟΝΤΕ (Δ superscr.) Syr. Δ add. 2. man. θάνατόν γε GS Cant. Vrat. b. Flor.

---

A. c. 316 περκνὸν ἡ παράδοσις: πέρκνον Aristarchus apud Eust. 1352, 20. — 318 ἐϋκλήις Aristarchus, Ptolem. Ascalonita, Herodianus: ἐὺ κληῖσ᾽ Trypho.

οἱ δ᾽ ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ᾽ ἀφίκοντο,
οἱ μὲν ἄρ᾽ ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο,
παῖδες καὶ γαμβροί, τὼ δ᾽ οὐ λάθον εὐρύοπα Ζῆν᾽
ἐς πεδίον προφανέντε· ἰδὼν δ᾽ ἐλέηcε γέροντα.
αἶψα δ᾽ ἄρ᾽ Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
Ἑρμεία· cοὶ γάρ τε μάλιcτά γε φίλτατόν ἐcτιν
ἀνδρὶ ἑταιρίccαι, καί τ᾽ ἔκλυεc, ᾧ κ᾽ ἐθέληcθα·
βάcκ᾽ ἴθι, καὶ Πρίαμον κοίλαc ἐπὶ νῆαc Ἀχαιῶν
ὣc ἄγαγ᾽, ὡc μήτ᾽ ἄρ τιc ἴδῃ μήτ᾽ ἄρ τε νοήcῃ
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλείωνα δ᾽ ἱκέcθαι.
ὣc ἔφατ᾽, οὐδ᾽ ἀπίθηcε διάκτοροc ἀργεϊφόντηc.
αὐτίκ᾽ ἔπειθ᾽ ὑπὸ ποccὶν ἐδήcατο καλὰ πέδιλα
ἀμβρόcια χρύcεια, τά μιν φέρον ἠμὲν ἐφ᾽ ὑγρὴν
ἠδ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν ἅμα πνοιῇc ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῇ τ᾽ ἀνδρῶν ὄμματα θέλγει,
ὧν ἐθέλει, τοὺc δ᾽ αὖτε καὶ ὑπνώονταc ἐγείρει·
τὴν μετὰ χερcὶν ἔχων πέτετο κρατὺc ἀργεϊφόντηc.
αἶψα δ᾽ ἄρα Τροίην τε καὶ Ἑλλήcποντον ἵκανε,

---

V. l. 329 οἵδ᾽ CDGL. ἐπεὶ ἐκ Schol. Ε 26. conf. ω 205. πόλεοc A. — 330 οἳ μὲν C. ἆρ AD. ἄψορρον L. ΑΨΟΡΡΟΝ Ambr. ποτὶ AG
μβ α
edd. vett. — 331 γαυροὶ H. ζῆν᾽ DEGL. ΖΗΝ᾽ Ambr. ζην H. ΖΗΝ Pap. 1. man. ζῆ AC Barocc. Mor. Harl. Townl. Vrat. d. Rom. ΖΗ Syr. Pap. 2. man. — 332 ν᾽ ἐc AC Barocc. Mor. Harl. Townl. Vrat. d. Rom. Syr. Pap. 2. man. — 333 ἆρ ACDGL. ἑρμείην S Cant. φίλον υἱὸν C. — 334 γάρ omitt Syr. μάλιcτά τε A. μάλιcτα δὲ Tzetz. Alleg. 176. φίλτατον ἐcτὶν L. ἐcτὶ D. — 335 ἑταιρίcαι DGHL 1. man. Lips. Flor. Eust. 941, 62. ΕΤΑΡΙCCΑΙ Pap. τ᾽ omitt. Syr. ΕΘΕΛΗCΘΑ Ambr. κε θέληcθα C. — 336 κοίλαc omitt. L Lips. — 337 ὡc bis A. τιc ἤδη G. τι ἴδῃ Vrat. d. τι νοήcῃ Cant. γε νοήcῃ L. — 338 πηλείωνα δ᾽ ACDH. — 339 ὡc A. — 340 ΑΥΤΙΚΑΔ᾽ ΕΠΕΙΘ Syr. ΕΠΕΙΤ Pap. ὑπο A. ΠΕΔΕΙΛΑ Ambr. Pap. Syr. (cum acc.). πέδιλλα HL. — 341 ΜΕΝ Pap. 1. man. ΜΙΝ 2. man. — 342 ἤδ᾽ ἐπ᾽ L. ἐc S. πνοῇc G. — 343 ῥᾶβδον G. ῥᾴβδον E. alii ῥᾳ̂βδον teste Eust. 1353, 39. cf. H. U. 220. ᾗ τ᾽ Schol. κ 329. — 344 omitt. Pap. 1. man., add. man. rec. in marg. ὡν εθελει τουc δ᾽ αὖτε καὶ υπν‖ονταc εγειρει. ἐθέλῃ A Syr. Cant. τοὺc αὖ Harl. Mosc. 2. — 345 πέτατο Vrat. A. — 346 ἄρ᾽ ἐc τροίην CDH (ἆρ) S Cant. Harl. Vrat. d. Mosc. 2. ἐν ἄλλῳ αἶψα δ᾽ ἆρ ἐc τροίην A. ἵκανε ACDGH Syr.

---

A. c. 331, 332 ζην᾽-ἐc: ζῆ-ν᾽ ἐc Aristarchus, conf. Θ 206. Ξ 265. — 332 προφανέντε: ἐν τῆι χίαι καταβάντε Didymus. — 341, 342 asteriscus: οὐκ ὀρθῶc α 97, 98. — 341 οὕτωc διὰ τοῦ ο̅ φέρον Didymus. — 344 ἐθέλει: οὕτωc ἀρίcταρχοc διὰ τοῦ ε̅, αἱ δὲ κοιναὶ διὰ τοῦ η̅ ἐθέλῃ Didymus.

βῆ δ' ἰέναι κούρῳ αἰcυμνητῆρι ἐοικώc,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεcτάτη ἥβη.
οἳ δ' ἐπεὶ οὖν μέγα cῆμα παρὲξ Ἴλοιο ἔλαccαν,
cτῆcαν ἄρ' ἡμιόνουc τε καὶ ἵππουc, ὄφρα πίοιεν,
ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφαc ἤλυθε γαῖαν.
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράccατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο φώνηcέν τε·
φράζεο Δαρδανίδη· φραδέοc νόου ἔργα τέτυκται.
ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαῤῥαίcεcθαι ὀίω.
ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων, ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύcομεν, αἴ κ' ἐλεήcῃ.
ὣc φάτο, cὺν δὲ γέροντι νόοc χύτο, δείδιε δ' αἰνῶc,
ὀρθαὶ δὲ τρίχεc ἔcταν ἐνὶ γναμπτοῖcι μέλεccι,
cτῆ δὲ ταφών· αὐτὸc δ' ἐριούνιοc ἐγγύθεν ἐλθών,
χεῖρα γέροντοc ἑλών, ἐξείρετο καὶ προcέειπε·
πῇ πάτερ ὧδ' ἵππουc τε καὶ ἡμιόνουc ἰθύνειc
νύκτα δι' ἀμβροcίην, ὅτε θ' εὕδουcι βροτοὶ ἄλλοι;
οὐδὲ cύ γ' ἔδειcαc μένεα πνείονταc Ἀχαιούc,
οἵ τοι δυcμενέεc καὶ ἀνάρcιοι ἐγγὺc ἔαcι;
τῶν εἴ τίc cε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν

V. l. 347 αἰcυητῆρι AEGL Syr. Lips. Vrat. A. edd. vett. Hesychius I, 87. Apoll. Soph. 16, 8. αἰcυμνητῆρι CDHS Barocc. Cant. Mor. Townl. Vrat. b. Ven. B. Tzetzes Alleg. 347. αἰcιμνητῆρι Vrat. d. ΑΙCΥΙΗΤΟΡΙ Pap. 1. man. ΑΙCΥΜΗΤΗΡ' 2. man. — 348 πρώτῳ S. ὑπηνήτην οὗ περ Apoll. Soph. 16, 8. οὗπερ Eust. 840, 39. — 349 οἳ δ' D. οἵδ' CGL. ЄΠΙ Pap. 1. man. παρεξ D. πάρεξ G. ἴλλοιο H. ἴλϊο C. ἰλίοιο Lips. ἔλαcαν DE Lips. ЄΛΑCCЄΝ Pap. 1. man. — 350 ἂρ DGL. — 351 ἔπι CL. ἦλθε E. — 352 ἐφράcατο DEH Lips. κήρυξ L. — 353 ποτι D. — 354 ἀφραδέοc L Lips. ΝΥΟΥ Pap. 1. man. — 355 ἄνδρα ὁρῶ E. ΑΜΜΑ Pap. ἅμμε H. ἄν D 1. man. pro ἄμμε. διαρραίcεcθ' D. — 356 ἀλλάγε H. — 357 ἐλεήcει Vrat. d. — 358 ὡc A. cυν D. δείδε δ' G. ΔЄΙΔΙΑ Pap. 1. man. — 359 ἐνι GL. ἐπὶ A. ἐπὶ Townl. Vrat. b. γναπτοῖcι L Barocc. Vrat. d. A. μέλεccι ACDEH. — 360 ЄΡΙΟΥΝΟC Pap. 1. man. — 361 ἑλὼν omitt. Pap. 1. man. ἐξήρετο C Harl. Vrat. d. Mosc. 2. προcέειπε ACDHL. προcέειπεν G Pap. Syr. μετέειπε E. — 362 πῆ ADE. ποῖ L. ceteri πῇ. ΠΑΤЄΡ' Syr. ЄΙΘΥΝΕΙC Pap. 1. man. ἰθύνοιc D. — 363 ΤЄΥΔΟΥCΙΝ Pap. εὕδουcιν D Syr. — 364 ἔδδειcαc libri. — 365 ΟΥΤΟΙ Syr. ἔαcι ACDH Vrat. A. ἔαcιν EGL Syr. — 366 τιc cε DGHL. CЄΙΔΟΙΤΟ Syr.

A. c. 347 ἀρίcταρχοc αἰcυμνητῆρι (cod. ἐcυμνητῆρι) τουτέcτι βαcιλικῷ Didymus, conf. Eust. 1353, 55. αἰcυητῆρι Apio apud Hesych. I, 87. Apoll. Soph. 16, 19.

τόϲϲάδ' ὀνείατ' ἄγοντα, τίϲ ἂν δή τοι νόοϲ εἴη;
οὔτ' αὐτὸϲ νέοϲ ἐϲϲί, γέρων δέ τοι οὗτοϲ ὀπηδεῖ,
ἄνδρ' ἀπαμύναϲθαι, ὅτε τιϲ πρότεροϲ χαλεπήνῃ.
ἀλλ' ἐγὼ οὐδέν ϲε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
ϲεῦ ἀπαλεξήϲαιμι· φίλῳ δέ ϲε πατρὶ ἐίϲκω.
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοϲ θεοειδήϲ·
οὕτω πῃ τάδε γ' ἐϲτὶ φίλον τέκοϲ, ὡϲ ἀγορεύειϲ.
ἀλλ' ἔτι τιϲ καὶ ἐμεῖο θεῶν ὑπερέϲχεθε χεῖρα,
ὅϲ μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆϲαι,
αἴϲιον, οἷοϲ δὴ ϲὺ δέμαϲ καὶ εἶδοϲ ἀγητόϲ,
πέπνυϲαί τε νόῳ, μακάρων δ' ἒξ ἐϲϲι τοκήων.
τὸν δ' αὖτε προϲέειπε διάκτοροϲ ἀργεϊφόντηϲ·
ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπεϲ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέωϲ κατάλεξον,
ἠέ πῃ ἐκπέμπειϲ κειμήλια πολλὰ καὶ ἐϲθλὰ
ἄνδραϲ ἐϲ ἀλλοδαπούϲ, ἵνα περ τάδε τοι ϲόα μίμνῃ,

---

V. l. 367 τόϲϲαδε ἢ τοϲϲάδ' E. ἔχοντα Vrat. d. Eust. 1403, 9. ἄγοντα ἢ ἔχοντα E 1354, 49. ΕΙΗΙ Syr. — 368 γέρων δὴ τοιοῦτοϲ H. τοιοῦτοϲ Vrat. d. — 369 ἐπαμύναϲθαι L Pap. 2. man. Harl. Cant. Lips. ἐπαμύ$^{\alpha}$ναϲθαι A. ἐπαμύνεϲθαι S Vrat. d. A. ἀπαμύνεϲθαι Mosc. 2. Cicero ad Attic. II, 9, 3. conf. π 72. φ 133. ὅτέ τῖϲ C. ὅτε τι H. χαλεπήνῃ GL. ΧΑΛΕΠΑΙΝΗ Pap. 1. man. χαλεπαίνῃ H. — 370 οὐδ' ἄν ϲε C Vrat. A. κακὸν CDEHLS Pap. 2. man. Lips. Vrat. d. A. Mosc. 2. Flor. Rom. Apoll. de Pron. 63 C. Apoll. Soph. 94, 18. γρ. κακον A. ἠδέ κεν H Mor. Barocc. ΙΔΕΚΕΝ Syr. ἠδὲ ἢ καὶ δέ E 1354, 53. γρ. εἰδέ κεν A. κακὸν ἀλλὰ καὶ ἄλλον Eust. 1354, 65. κακά AG Pap. 1. man. — 373 ΟΎΤΩΔΗ Syr. οὕτω δή πῃ L Lips. πῃ AG. vulgo πη. — 374 ἀλλ' εἴ τιϲ ACL Lips. Vrat. A. Mosc. 2. γρ. ἀλλ' ἔτι τιϲ A. ἐμοῖο G. χεῖραϲ D. — 375 τοῖονδ' G. — 376 ΑΪ́ϹΙΟϹ Pap. οἷον δὴ Vrat. d. ΜΈΓΑϹ pro δέμαϲ Pap. δέμαϲ καὶ ἀτειρέα φωνήν CL Lips. — 377 πέπνυϲαι δὲ Pseudoplut. 140, 15. ἔξ ἐϲϲι E: ἔξεϲϲι ACDGHLS Syr. Flor. — 379 κατα D. ἔειπαϲ CG Pap. Flor. ἔειπεϲ ADHL S Syr. Cant. Townl. Lips. Mosc. 2. Vrat. d. Rom. — 381 ἢ ἔπηι A. ἠέ πῃ ceteri. καλὰ καὶ C. — 382 ἵνα τοι τάδε περ S Syr. Barocc. Cant. Mor. conf. ν 364. τάδέ τοι G. τάδε ϲῶα L Lips. Vrat. A. μίμνει H.

---

A. c. 367 ἄγοντα Aristarchus. — 370 ἡ διπλῆ ὅτι τὸ δεν παρέλκεται Aristonicus, unde patet Aristarchum οὐδέν pro οὐ accepisse sicut A 244. 412. Π 274, et legisse κακά. librarii, qui non animadverterunt οὐδέν pro οὐ positum esse, loco adiectivi acceperunt et antiquam scripturam κακά in κακόν mutaverunt. quos erroris coarguit καὶ δέ κεν, quod omnes fere libri exhibent. κακὰ ῥέζειν legitur Γ 354. Δ 31. β 72. υ 314. κακόν ϲ 157. — 373 οὕτω διὰ τοῦ π̄ οὕτω πηι, ἐν δέ τιϲι διὰ τοῦ δ̄ οὕτω δὴ Didymus.

ἤ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλε,
ϲὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ' Ἀχαιῶν.
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
τίς δὲ σύ ἐσσι φέριστε, τέων δ' ἔξ ἐσσι τοκήων;
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες.
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
πειρᾷ ἐμεῖο γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέι χαλκῷ.
ἡμεῖς δ' ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς
εἴα μάρνασθαι κεχολωμένος Ἀτρεΐωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ' ἔξειμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
ἀφνειὸς μὲν ὅ γ' ἐστί, γέρων δὲ δὴ ὡς σύ περ ὧδε,
ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
τῶν μέτα παλλόμενος κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι.
νῦν δ' ἦλθον πεδίον δ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.

ψ

V. l. 383 καταλείπετε A. κατελείπετε C. καταλείπεται D. — 384 ΓΑΡ' ΑΝΗΡ' Syr. ὤριστος A. ὥριστος Mosc. 2. ὄλωλε ACEH. ΟΛΩΛΕΝ Pap. Syr. ὄλωλεν DGL. — 385 παῖς ACE. πάϊς CDHL Syr. Lips. γάρ πω D. ἐπεδεύετ' AEGS Syr. ἐπιδεύετ' CDHL Barocc. Vrat. d. Ven. B. — 387 ΤΙΔÈ Syr. σὺ ἐσσὶ HL. τίνων S. ἔξ ἐσσι E: ἔξεσσι ACDGHLS Syr. ἔξ εἰσι Cram. Ep. 148, 10. ἔξ ἐσσι Schol. Nicand. Alex. 2. — 388 ὥς μοι ACDEG Syr. 2. man. Townl. Vrat. A. Ven. B. Rom. Cram. Ep. 246, 5. 448, 31 (diserte). An. Ox. II, 472, 19. Et. Gud. 581, 46. ὅς μοι HLS Syr. 1. man. Lips. Flor. ЄΝÍϹΠЄϹ Syr. ἔνισπε H. ἐνίσποις Cram. Ep. 448, 31. Et. Gud. 581, 47. — 390 ΠЄΙΡЄ Pap. 1. man. ΠЄΙΡΑΙ 2. man. ἤρεο ἕκτορα C. — 391 μάλα πολλὰ omitt. L. ΠΑΓΧΥ pro πολλὰ Pap. ἐνι AD. ἐνὶ CEGHL. — 392 omitt. L Lips. ΟΠΩΠΩ Pap. 1. man. ΝΗΥϹΙ ΠЄΛΑϹϹΑϹ Pap. — 393 δαΐξων Rom. — 394 ΓΑΡ' Syr. ἀχῖλεὺς C. — 396 ΤΟΥ̃ΜÈΝ Pap. ἐγὼν G. ΝΗ̃ῩϹ Syr. νηὺς D. — 397 ἔξειμι ACDGHLS Syr. ἔξ εἰμι E Cram. Ep. 148, 8. Schol. ν 130. δέ μοι ἐστὶ CEGHL. — 398 ὅδ' (γ supra) A. ὅδ' DGS Syr. ὅγ' CEHL Harl. Townl. Mosc. 2. γέρων δέ μοι G. — 399 γρ. ἓξ δὲ τῶι A. ἔασσιν G Flor. ἐγὼ δέ τοι DE Flor. δέ τι G Rom. ἕβδομος εἰμὶ HL. — 400 τῶν μέτα AC Townl. μεταπαλλόμενος DEGHLS. μετὰ Vrat. A. κλήρας (ους supra) H. ΑΠЄϹΘΑΙ Pap. ἱκέσθαι L Lips. — 401 ΓΑΡ' Syr. — 402 περι A. ΜΑΧΗ Pap. 1. man.

A. c. 400 οὕτως τῶν μέτα Schol. A. ἀναστρέφουσι τὴν πρόθεσιν ἐστὶ γὰρ μετὰ τῶν Herodianus.

ἀϲχαλόωϲι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴϲχειν ἐϲϲυμένουϲ πολέμου βαϲιλῆεϲ Ἀχαιῶν.
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοϲ θεοειδήϲ·
εἰ μὲν δὴ θεράπων Πηληιάδεω Ἀχιλῆοϲ
εἴϲ, ἄγε δή μοι πᾶϲαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεϲϲιν ἐμὸϲ πάιϲ, ἦέ μιν ἤδη
ἧϲι κυϲὶν μελεϊϲτὶ ταμὼν προὔθηκεν Ἀχιλλεύϲ.
τὸν δ' αὖτε προϲέειπε διάκτοροϲ ἀργεϊφόντηϲ·
ὦ γέρον, οὔ πω τόν γε κύνεϲ φάγον οὐδ' οἰωνοί,
ἀλλ' ἔτι κεῖνοϲ κεῖται Ἀχιλλῆοϲ παρὰ νηὶ
αὔτωϲ ἐν κλιϲίῃϲι· δυωδεκάτη δέ οἱ ἠὼϲ
κειμένῳ, οὐδέ τί οἱ χρὼϲ ϲήπεται, οὐδέ μιν εὐλαὶ
ἔϲθουϲ', αἵ ῥά τε φῶταϲ ἀρηιφάτουϲ κατέδουϲιν.
ἦ μέν μιν περὶ ϲῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέϲτωϲ, ἠὼϲ ὅτε δῖα φανήῃ·
οὐδέ μιν αἰϲχύνει. θηοῖό κεν αὐτὸϲ ἐπελθών,
οἷον ἐερϲήειϲ κεῖται, περὶ δ' αἷμα νένιπται,
οὐδέ ποθι μιαρόϲ· ϲὺν δ' ἕλκεα πάντα μέμυκεν,
ὅϲϲ' ἐτύπη· πολέεϲ γὰρ ἐν αὐτῷ χαλκὸν ἔλαϲϲαν.

---

V. L. 403 ἀϲχαλώοϲι G. οἶδε AD. οἵδε CHL Syr. Harl. Vrat. b.
Mosc. 2. οἵγε EGS Pap. Ven. A in marg. supra οἵδε Flor. Rom. —
404 πολέμουϲ H. βαϲιλεῖϲ υἷαϲ ἀχαιῶν L. βαϲιλῆεϲ υἷεϲ ἀχαιῶν Lips. —
405 abhinc usque ad 504 cod. A manu recentiore est scriptus. — 406
ἤ
ἀχιλλῆοϲ G. — 407 εἷϲ C. εἶϲ H. ceteri εἴϲ. — 408 εἰ ἔτι A. εἰ ἔτι S.
ἢ ἔτι C. παρὰ AH Lips. παρ D. πάϊϲ libri. — 409 κυϲὶ DEH Syr. Lips.
ἀχῖλεύϲ C. — 410 προϲέειπεν D. — 411 οὔτοι τόνγε D. τόνδε G. τόνγε
ACDEHLS Syr. Townl. Harl. Vrat. b. A. Mosc. 2. φάγον κύνεϲ E Vrat.
d. — 412 ἀχῖλῆοϲ CD. — 413 αὔτωϲ AGH. αὕτωϲ CDL Townl. Vrat.
Η
b. οὕτωϲ ἢ αὔτωϲ E. οὕτωϲ Vrat. d. ἐνι D. ΔΥΩΔΕΚΑΤΟΙ ΔΕΤΟΙ
ΗΔΗ Pap. 1. man. δέ οἱ ἦδε D. ἠῶϲ ἢ ἦδε Eust. — 414 οὐδέ τι οἱ ADL.
οἱ omitt. G. — 415 ἀριηφάτουϲ H. ΚΑΤΗΔΟΥϹΙ Pap. — 416 ἢ μὲν D.
ἢ δή μιν Vrat. A. — 417 ἠὼϲ D. φανήηι D Syr. ΦΑΝῊΗ Pap. φανήη
ει
Townl. Rom. φανῇ Schol. Ω 16. φανείη CEGHLS et olim vulgo. φανήῃ
Vrat. d. τὸ δὲ φανείη ἐν πολλοῖϲ τῶν ἀντιγράφων διὰ τοῦ η̄ ϲυνήθωϲ
ἔχει τὴν παραλήγουϲαν μετὰ καὶ προϲγραφῆϲ τοῦ ῑ (sc. φανήῃ) Eust.
1356, 44. — 418 αἰϲχύνη H. θειοιό ACDH. θείοιο S Townl. θηοῖό EGL.
Schol. Ω 20. ΑΠΕΛΘΩΝ Pap. 1. man. — 419 ἐρϲήειϲ AHLS Vrat. A.
ἑρϲήειϲ E bis. ἑερϲήειϲ C. ἐερϲείηϲ G. ἐερϲήειϲ D Apoll. Soph. 63, 1.
Schol. Ω 20. — 420 ϲυνδ' D. μέμυκε D. — 421 πολλέεϲ Cant. Harl. Lips.
ἐν AGLS Harl. Vrat. b. A. Flor. ἐπ' CDEH Pap. Syr. Rom. ἐπ' αὐτὸν
Vrat. d. ἔλαϲαν E.

---

A. c. 419 ἑερϲήειϲ Herodianus, vide H. T. 232.

ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος,
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι.
ὣς φάτο, γήθησεν δ᾽ ὁ γέρων, καὶ ἀμείβετο μύθῳ·
ὦ τέκος, ἦ ῥ᾽ ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
ἀθανάτοις, ἐπεὶ οὔ ποτ᾽ ἐμὸς πάις, εἴ ποτ᾽ ἔην γε,
λήθετ᾽ ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι·
τῶ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἀλλ᾽ ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
ὄφρά κεν ἐς κλισίην Πηληιάδεω ἀφίκωμαι.
τὸν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
πειρᾷ ἐμεῖο γεραιὲ νεωτέρου, οὐδέ με πείσεις,
ὅς με κέλεαι σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.

---

V. l. 422 ἑῆος CGL. ἐῆος ADH. ЄΗΟϹ Pap. 1. man. Syr. ʻЄΟΙΟ Pap. in marg. 2. man. — 423 ἐπεισφιλος H. ἐπεί σφισι L. — 425 καὶ αἰνέσιμα A. κ᾽ αἰνέσιμα L. διδόναι DE Vrat. A. Rom. δοῦναι Flor. τινὰ δὲ τῶν ἀντιγράφων ἐτόλμησαν γράψαι διδοῦναι Eust. 1357, 22. — 426 ἀθανάτοις γ᾽ AS. πάϊς ACDEGHL. ΠΑΙϹ Syr. — 427 ЄΝΙΜΜЄΓΑΡΟΙϹΙ Pap. 2. man. ἐνὶμμεγάροισϊ C. ЄΝΜΜЄΓΑΡΟΙϹΙ Pap. 1. man. ἐνι D. ἔχουσι ACDGH Syr. — 428 τῶ οἱ DL. τῷ AEG. τῶν οἱ, CH Syr. Ven. B. ἀπεμνήσαντο CDE 1357, 26 HL Lips. alii. ΑΠΟΜΝΗϹΑΝΤΟ Pap. ἐπεμνήσαντο AE 1357, 14 GS Syr. Mosc. 2. Vrat. b. A. Flor. Rom. τὸ δὲ ἀπεμνήσαντο γράφεται καὶ ἐπεμνήσαντο. ἀκριβέστερον δὲ τὸ ἀπεμνήσαντο Eust. 1357, 26. ЄΝΘΑΔЄΤΟΙΟ Pap. 1. man. pro ἐν θανάτοιο. — 429 δὴ καὶ τόδε A. δέξο Lips. πάρα ACEH. παρὰ L. παρα D Syr. — 430 omitt. Townl. 1. man. ΑΫΤΟΝ ΔЄ Pap. 1. man. ΓЄΜЄϹΥΝΔЄ Pap. 1. man. δή με D. θεοῖσι DH. — 431 ὄφρά κεν CH. ἀφίκομαι L. — 433 ΠЄΙΡΑΙ Pap. 1. man. νεώτερον Vrat. d. — 434 κέλῃ AE GLS Syr. Eust. 1355, 48. κέλη DH. κέκλη C. σεῖο A. πάρεξ AL. παρεξ D. ΑΧΙΛΛΗΛ Pap. 1. man. ΑΧΙΛΛΗΙ 2. man. ἀχιλῆος AS Rom. ἀχιλλῆος ἔχεσθαι G. ἀχιλῆος ἔχεσθαι Flor. ἀχιλῆα δέχεσθαι CDHL Syr. Lips. Townl. Vrat. A. Ven. B. Eust. 1353, 62. idem legebat Eust. in codice suo, nam interpretatur 1357, 44 παρὲξ Ἀχιλλέα δέξασθαι.

---

A. c. 423 ἀθετεῖται ὡς περισσός Schol. V. — 425 διδοῦναι, quod Bothio insolenter dictum videtur pro διδόναι, confirmatur analogia formae τιθήμεναι Ψ 83. 247. et διδοῦν apud Theognidem 1329. alii διδῶναι teste Herodiano περὶ μον. λέξ. 25, 4. δυσχεραίνων δὲ ὁ Ἀριστοφάνης τὸ (τῷ?) διδώσομεν γράφει παρέξομεν. καὶ τὸ ἐν Ἰλιάδι διδοῦναι παρέκοπτε (libri διδόναι προέκοπτε) Schol. CHQ ad ν 328. quid Aristophanes pro διδοῦναι scripserit incertum est: alii alia coniecerunt. ceterum ō productum in διδόναι non magis vitiosum est quam in ŏφις Μ 208. βορέης Ι 5. τό ῥα Π 228. ὃς ἔτλης Χ 236. τό οἱ Χ 307; ᾱ in κατᾱνεύων ι 490. ἀπονέεσθαι, ἀπονέοντο Β 113. 288. Γ 313. Ἀπόλλωνος Α 14. 21. 36: ε̄ in ἐπίτονος μ 423. ἐπεὶ ψ 2; ῑ in πιφαύσκω Κ 478. 502. Σ 500. ἐπιτέλλω ψ 361. ἐριδήσασθαι Ψ 792. — 428 τῶ οἱ: τινὲς τῶν οἱ γράφουσι, τουτέστι τῶν θυσιῶν αὐτοῦ ἐμνήσθησαν Schol. M. — 434 παρὲξ Ἀχιλῆα Schol. BM.

τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
ϲυλεύειν, μή μοί τι κακὸν μετόπιϲθε γένηται.
ϲοὶ δ᾽ ἂν ἐγὼ πομπὸϲ καί κε κλυτὸν Ἄργοϲ ἱκοίμην,
ἐνδυκέωϲ ἐν νηὶ θοῇ ἢ πεζὸϲ ὁμαρτέων·
οὐκ ἄν τίϲ τοι πομπὸν ὀνοϲϲάμενοϲ μαχέϲαιτο.
ἦ, καὶ ἀναΐξαϲ ἐριούνιοϲ ἅρμα καὶ ἵππουϲ
καρπαλίμωϲ μάϲτιγα καὶ ἡνία λάζετο χερϲίν,
ἐν δ᾽ ἔπνευϲ᾽ ἵπποιϲι καὶ ἡμιόνοιϲ μένοϲ ἠύ.
ἀλλ᾽ ὅτε δὴ πύργουϲ τε νεῶν καί τάφρον ἵκοντο,
οἳ δέ νέον περὶ δόρπα φυλακτῆρεϲ πονέοντο,
τοῖϲι δ᾽ ἐφ᾽ ὕπνον ἔχευε διάκτοροϲ ἀργεϊφόντηϲ
πᾶϲιν, ἄφαρ δ᾽ ὤιξε πύλαϲ καὶ ἀπῶϲεν ὀχῆαϲ,
ἐϲ δ᾽ ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ᾽ ἐπ᾽ ἀπήνηϲ.
ἀλλ᾽ ὅτε δὴ κλιϲίην Πηληιάδεω ἀφίκοντο
ὑψηλήν, τὴν Μυρμιδόνεϲ ποίηϲαν ἄνακτι
δοῦρ᾽ ἐλάτηϲ κέρϲαντεϲ· ἀτὰρ καθύπερθεν ἔρεψαν
λαχνήεντ᾽ ὄροφον λειμωνόθεν ἀμήϲαντεϲ·
ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίηϲαν ἄνακτι
ϲταυροῖϲιν πυκινοῖϲι· θύρην δ᾽ ἔχε μοῦνοϲ ἐπιβλὴϲ
εἰλάτινοϲ, τὸν τρεῖϲ μὲν ἐπιῤῥήϲϲεϲκον Ἀχαιοί,

---

V. L. 435 omitt. L Lips. πέρι A. περι H. ΠΕΡῚ Syr. cum ceteris. — 436 ΜΩΜΕΎΕΙΝ Pap. pro ϲυλεύειν. μή μοι τι DH. μήτι μοι A. τι omitt. G. μετόπιϲθεν E Flor. γένοιτο DE Pap. — 438 ϹΟῚ ΜῈΝ Pap. ΚΑῚ ΚΕ Syr. κε omitt. L Lips. — 439 οὐκ ἄν τίϲ ACE. ἄν τιϲ GH. οὔκουν τίϲ L. ΟΫ́ΚΕΝ Pap. 1. man. ΟΥΚΈΝ Syr. οὐ κέν τιϲ D. ὀνηϲάμενοϲ Lips. μαχέϲϲαιτο C. — 440 ἀναΐξαϲ ACGHS Cant. Harl. Townl. Vrat. b. Mosc. 2. Ven. B. ἐπαΐξαϲ DEL Syr. ΕΝΑΙΞΑϹ Syr. — 441 ΜΑϹΤΕΙΓΑ Pap. 1. man. ΜΑϹΤΙΓΓΑ 2. man. χειρί L. — 442 ἔπνευϲ᾽ H. ἵπποιϲ τε καὶ D. ἡμιόνοιϲιν L. — 443 τὲ H. — 444 οἳ L. περι H. — 445 τοῖϲιν δ᾽ ὕπνον Vrat. A. ἔχευε: ὄρουϲε A Cant. ὄρεϲε S. — 446 ὀχῆα Townl. — 447 ἐϲ δ᾽ ἄγε Lips. Flor. δῶρ᾽ ἐπήνηϲεν (pro ἐπένηϲεν) Vrat. A. — 448 κλιϲίη L. — 449 ὑψηλῇ L. — 450 ἔρρεψαν D. — 451 λειμωνόϲε Schol. Ω 165. — 452 ἀμφι D. ποίηϲαν ἐρυμνην D. — 453 ϲταυροῖϲι H Lips. εἶχε A. μοῦνοϲ δ᾽ ἔχε θύραϲ Apoll. Soph. 72, 17. — 454 ΕΠΙΡΡΗϹϹΕϹΚΟΝ Syr. ἐπιρρήϲϲεϲκον D. ἐπιρρήϲεϲκον ACEGHS Vrat. A. Flor. Rom. et Heynii fere omnes. ἐπειρήϲεϲκον L. ἐπιρήϲεϲκον Vrat. d. ΕΠΕΡΗϹΕϹΚΟΝ Pap. 1. man. ΕΠΕΙΡΗϹΕϹΚΟΝ 2. man.

---

A. c. 440 ἀναΐξαϲ Schol. BM. — 451 ὄροφον: τινὲϲ ὀξυτόνωϲ Schol. V. — 453 τὸ ἐπιβλήϲ ὡϲ τὸ προβλήϲ ὀξύνεται Schol. BCM. τὸ ἐπιβλὴϲ βαρύνει Ἀρίϲταρχοϲ Eust. 1359, 8.

τρεῖς δ' ἀναοίγεσκον μεγάλην κληῖδα θυράων,
τῶν ἄλλων· Ἀχιλεὺς δ' ἄρ' ἐπιῤῥήσσεσκε καὶ οἶος·
δή ῥα τόθ' Ἑρμείας ἐριούνιος ᾦξε γέροντι,
ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλεΐωνι,
ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθόνα φώνησέν τε·
    ὦ γέρον, ἤ τοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα,
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν.
ἀλλ' ἤ τοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ' Ἀχιλῆος
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην·
τύνη δ' εἰσελθὼν λαβὲ γούνατα Πηλεΐωνος,
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠυκόμοιο
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.
    ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμείας· Πρίαμος δ' ἐξ ἵππων ἆλτο χαμᾶζε,
Ἰδαῖον δὲ κατ' αὖθι λίπεν· ὃ δὲ μίμνεν ἐρύκων
ἵππους ἡμιόνους τε· γέρων δ' ἰθὺς κίεν οἴκου,
τῇ ῥ' Ἀχιλεὺς ἵζεσκε διίφιλος. ἐν δέ μιν αὐτὸν
εὗρ', ἕταροι δ' ἀπάνευθε καθείατο· τὼ δὲ δύ' οἴω,
ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, ὄζος Ἄρηος,
ποίπνυον παρεόντε· νέον δ' ἀπέληγεν ἐδωδῆς,

V. L. 455 ΤΡΙC Pap. 2. man. ut 454. ΤΡ(ε)ΙC Syr. add. ε 2. man. κληῖδα G. κληῗδα A. — 456 ἀχιλλεὺς DG. ἄρ' omitt. A. ἂρ CDEHL. ἐπιρρήσσεσκε D. ЄΠΙΡΡΗCCЄCKЄ Syr. ЄΠЄΙΡΗCЄCKЄ Pap. ἐπειρήσεσκε L. ἐπιρρήσεσκε CEGHS. — 457 ῥὰ D 2. man. L. ὤιϊξε D. ὤϊξε G Vrat. A. — 458 ποδώκει G. — 459 δ' omitt. Syr. 1. man. ἐπι D. χθονὶ editores fere omnes: χθόνα libri. — 460 ἄβροτος Mor. — 461 ΠΑΤῊΡ' Syr. ΟΠΑCCЄ Pap. Syr. (cum acc.). — 462 ἀχιλλῆος H. — 463 εἴσ(ει)ην H pro εἴσειμι. νεμεσητὸν E. ЄΙΗΙ Syr. conf. Ξ 336. Χ 20. 346. Ω 367. — 466 μητρὸς E. μητρός τ' L. καί τε μητέρος Lips. — 467 ἵνά οἱ CL. συν D. ΟΡЄΙΝΗC Pap. 1. man. — 469 ЄΞ Pap. 1. man. ΑΦ 2. man. ἆλτο C. ἄλτο A. χαμάζε ACHL. χαμᾶζε DG Apoll. Soph. 69, 31. ΧΑΜΑΖЄ Syr. — 470 καταῦθι ADS Syr. conf. Ρ 535. ὅδ' ἔμιμνεν CD (ὃ δ') L. Ο(⊢)Δ' ЄΜΙΜΝЄΝ Syr. — 471 ἵππους θ' C Syr. ЄΙΘΥC Pap. — 472 τῇ ῥ': ἔνθ' E. ἀχιλλεὺς EGH. διῒ φίλος ACDEGHL. ΔῚΙΦΙΛΟC Syr. ἐν: ΑΝ Pap. — 473 ἕτεροι δὲ Vrat. d. ἀπάνευθεν AD. καθήατο CE. τὼ ACDHS Vrat. A. Flor. ΤΩ Syr. τῷ GL Harl. Vrat. d. Lips. Mosc. 2. Rom. δύω τε L, omisso οἴω. οἴῳ CG. — 474 τε omitt. L. ΥἹῸ̀C Pap. 1. man. pro ὄζος. — 475 παρεόντες L. ΑΠΗΛΗΓЄΝ Pap. 1. man.

A. c. 469 ἆλτο: ἄμεινον βαῖνε γράφειν ἐπὶ τοῦ γέροντος Schol. V.

ἔϲθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.
τοὺϲ δ' ἔλαθ' εἰϲελθὼν Πρίαμοϲ μέγαϲ, ἄγχι δ' ἄρα ϲτὰϲ
χερϲὶν Ἀχιλλῆοϲ λάβε γούνατα καὶ κύϲε χεῖραϲ
δεινὰϲ ἀνδροφόνουϲ, αἵ οἱ πολέαϲ κτάνον υἷαϲ.
ὡϲ δ' ὅτ' ἂν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅϲ τ' ἐνὶ πάτρῃ
φῶτα κατακτείναϲ ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸϲ ἐϲ ἀφνειοῦ, θάμβοϲ δ' ἔχει εἰϲορόωνταϲ,
ὣϲ Ἀχιλεὺϲ θάμβηϲεν ἰδὼν Πρίαμον θεοειδέα·
θάμβηϲαν δὲ καὶ ἄλλοι, ἐϲ ἀλλήλουϲ δὲ ἴδοντο.
τὸν καὶ λιϲϲόμενοϲ Πρίαμοϲ πρὸϲ μῦθον ἔειπε·
μνῆϲαι πατρὸϲ ϲοῖο θεοῖϲ ἐπιείκελ' Ἀχιλλεῦ,
τηλίκου, ὥϲ περ ἐγών, ὀλοῷ ἐπὶ γήραοϲ οὐδῷ.
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶϲ ἐόντεϲ
τείρουϲ', οὐδέ τιϲ ἔϲτιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
ἀλλ' ἤ τοι κεῖνόϲ γε ϲέθεν ζώοντοϲ ἀκούων
χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
ὄψεϲθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα·
αὐτὰρ ἐγὼ πανάποτμοϲ, ἐπεὶ τέκον υἷαϲ ἀρίϲτουϲ
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινά φημι λελεῖφθαι.
πεντήκοντά μοι ἦϲαν, ὅτ' ἤλυθον υἷεϲ Ἀχαιῶν·

---

V. ι. 476 ἔτι γὰρ Mor. — 477 ἄγχι παραϲτὰϲ Vrat. A. — 478 ἀχῖλῆοϲ CD. κῦϲε DH. — 479 ΠΑΙΔΟΦΌΝΟΥϹ Pap. πολῖαϲ H. — 480 ὅταν CEGHL. ΟΤΑΝ Syr. ὅτ' (αν) A. ὅτ' Vrat. A. ἐπιπάτρηι D. — 481 ἄλλων ACDHS Syr. Cant. Mor. Barocc. Townl. Vrat. d. A. ἄλλον EGL Lips. edd. vett. conf. ο 228. 238. π 382. υ 219. ϵΞ' ῙΚϵΤΟ Syr. ϵΞϵΙΚϵΤΟ Pap. 1. man. — 482 ἜΧϵΝ Pap. ϵΧϵΝϵΙϹΟΡΟΌΩΝΤΑ Syr. δέχ' εἰϲορόωνταϲ D. ἔχεν Flor. Rom. — 483 ἀχιλλεὺϲ E. θεοειδῆ C Vrat. d. — 484 ἐϲαλλήλουϲ D. ἐπ' ἀλλήλουϲ L. — 485 ἔειπε AC. ϵϵΙΠϵΝ Pap. cum ceteris. — 486 μνήϲαιο Apoll. Soph. 140, 34. ϲοῖο' ADH. Apoll. Soph. 143, 30. Ammon. de Diff. s. ἐμεῖο et ϲοῖο. ϲεῖο CEGLS Hesych. IV, 16. Apollon. de Pron. 137 C. de Synt. 164, 6. Rhet. Gr. I, 399, 3. Schol. Ω 371. α 413. Polybius περὶ ϲολοικιϲμοῦ in Boissonadii Anecd. III, 233. ἀχῖλεῦ CD. — 487 ϲτηλίκου G. οἷοϲ ἐγὼν Heracl. Alleg. c. 59. ἐγὼ L. ἐπι D. — 488 που: περ Vrat. A. περιναέται L Lips. — 489 οὐδέ τιϲ ἐϲτὶν ACD (ἐϲτιν) EGHL. ἀνὴρ pro ἀρὴν H. — 491 τ' ἐνὶ C. ϵΠϵΙ Pap. ἔλπει Vrat. A. ἥματα D. — 492 ἀπο AD. τροίηθεν ἰόντα CDE bis GHL. τροίηθεν μολόντα A. τροίηθεν μολοῦντα S. τροίηθε (?) μολόντα Barocc. Cant. Mor. conf. H. U. 44. — 494 οὔτινα φημὶ ADEGHL.

---

A. c. 476 ἀθετεῖται Schol. V. — 486 ϲοῖο: Ζηνόδοτοϲ ϲεῖο κακῶϲ Schol. V. conf. Ariston. ad α 413. Apollon. de Pron. 137 C. — 488 ἐόντεϲ: τινὲϲ ἐόντοϲ Schol. B.

ἐννεακαίδεκα μέν μοι ἰῆϲ ἐκ νηδύοϲ ἦϲαν,
τοὺϲ δ' ἄλλουϲ μοι ἔτικτον ἐνὶ μεγάροιϲι γυναῖκεϲ.
τῶν μὲν πολλῶν θοῦροϲ Ἄρηϲ ὑπὸ γούνατ' ἔλυϲεν·
ὃϲ δέ μοι οἶοϲ ἔην, εἴρυτο δὲ ἄϲτυ καὶ αὐτούϲ,
τὸν ϲὺ πρῴην κτεῖναϲ ἀμυνόμενον περὶ πάτρηϲ,
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆαϲ Ἀχαιῶν
λυϲόμενοϲ παρὰ ϲεῖο, φέρω δ' ἀπερείϲι' ἄποινα.
ἀλλ' αἰδεῖο θεοὺϲ Ἀχιλεῦ, αὐτόν τ' ἐλέηϲον,
μνηϲάμενοϲ ϲοῦ πατρόϲ· ἐγὼ δ' ἐλεεινότερόϲ περ,
ἔτλην δ' οἷ' οὔ πώ τιϲ ἐπιχθόνιοϲ βροτὸϲ ἄλλοϲ,
ἀνδρὸϲ παιδοφόνοιο ποτὶ ϲτόμα χεῖρ' ὀρέγεϲθαι.
    ὣϲ φάτο, τῷ δ' ἄρα πατρὸϲ ὑφ' ἵμερον ὦρϲε γόοιο·
ἁψάμενοϲ δ' ἄρα χειρὸϲ ἀπώϲατο ἦκα γέροντα.
τὼ δὲ μνηϲαμένω, ὃ μὲν Ἕκτοροϲ ἀνδροφόνοιο
κλαῖ' ἁδινά, προπάροιθε ποδῶν Ἀχιλῆοϲ ἐλυϲθείϲ,
αὐτὰρ Ἀχιλλεὺϲ κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ ϲτοναχὴ κατὰ δώματ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖοϲ Ἀχιλλεύϲ,
καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμεροϲ ἠδ' ἀπὸ γυίων,
αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸϲ ἀνίϲτη,
οἰκτείρων πολιόν τε κάρη πολιόν τε γένειον,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
    ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνϲχεο ϲὸν κατὰ θυμόν.

V. L. 496 ἐννεακαίδεκα CL. ἐννέα καίδεκα G. ἐννέα καὶ δέκα H. μοι omitt. C. — 497 ἐνὶμμεγάροιϲϊ C. ἐνιμεγάροιϲιν D. — 498 ἐπϊγουνατ' C. ἀπόγούνατ' ἔλεϲϲεν H. — 499 δϲ δέ μοϲ G. ὃϲ δὲ μὲν Vrat. d. δὲ καὶ ἄϲτυ S. αὐτούϲ: αὐτόϲ L Lips. — 500 πρῴην E: ceteri πρώην conf. ad Ε 832. κτείναϲ Ω. ΚΤΕΙΝΕϹ Pap. — 501 εἵνεκ' D. — 502 ϲοῖο H. φέρων τ' D. — 503 αἰδοῖο H. αἴδοιο Vrat. A. αἰδεῖο φέριϲτε θεοὺϲ Barocc. (omisso ἀχιλεῦ) ex ι 269. ἀχιλλεῦ EH. ἀχιλλεὺ G. — 504 ἐλεεινόϲ L. — 505 τῖϲ L. ΓΕΝΕΤΑΛΛΟϹ Pap. 1. man. — 506 ποτι D. ποτὶ ϲτόμα omitt. L Lips. χεῖραϲ ὀρέξαι ἢ χεῖρ' ὀρέγεϲθαι E. — 507 ὡϲ A. ὑφίμερον D. ΕΙΜΕΡΟΝ Pap. 1. man. — 509 ὃ μὲν C. — 510 ἀδινὰ libri. ἐλυϲθείϲ omitt. Pap. ἑλυϲθείϲ C. λιαϲθείϲ L. ἑλκυϲθείϲ Lips. — 511 ἀχϊλεὺϲ C. κλαῖεν αἰὲν πατέρ' L. — 512 κατα AD — 513 ἐπεὶ ῥὰ L. ἀχϊλεὺϲ C. — 514 ἀπο bis A. γύων E bis. — 515 ἀνέϲτη H. ΑΝΕϹΤΗ Pap. ἀνιϲτᾷ Vrat. d. — 518 ὦ δεῖλ' CL Lips. ἆ δεῖλ' D. ἤδη D. ἦ μάλα πολλὰ H. ἀνέχεο Lips. ἀνάϲχεο C Vrat. A. ϲὸν omitt. L Lips.

A. c. 496 ἐννεακαίδεκα Herodianus: ἐννέα καὶ δέκα Pamphilus. — 512 ϲτοναχὴ: ϲτεναχὴ Zenodotus. — 514 ἀθετεῖται Aristonicus. ἀθετεῖ ὁ Θρᾷξ Schol. V. — 518 οὕτωϲ ἀρίϲταρχοϲ κάκ' ἄνϲχεο Didymus.

πῶϲ ἔτληϲ ἐπὶ νῆαϲ Ἀχαιῶν ἐλθέμεν οἶοϲ,
ἀνδρὸϲ ἐϲ ὀφθαλμούϲ, ὅϲ τοι πολέαϲ τε καὶ ἐϲθλοὺϲ
υἱέαϲ ἐξενάριξα; ϲιδήρειόν νύ τοι ἦτορ.
ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπηϲ
ἐν θυμῷ κατακεῖϲθαι ἐάϲομεν ἀχνύμενοί περ.
οὐ γάρ τιϲ πρῆξιϲ πέλεται κρυεροῖο γόοιο.
ὣϲ γὰρ ἐπεκλώϲαντο θεοὶ δειλοῖϲι βροτοῖϲι,
ζώειν ἀχνυμένοιϲ· αὐτοὶ δέ τ' ἀκηδέεϲ εἰϲί.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸϲ οὔδει
δώρων οἷα δίδωϲι, κακῶν, ἕτεροϲ δὲ ἑάων.
ᾧ μέν κ' ἀμμίξαϲ δώῃ Ζεὺϲ τερπικέραυνοϲ,
ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐϲθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε·
καί ἑ κακὴ βούβρωϲτιϲ ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾷ δ' οὔτε θεοῖϲι τετιμένοϲ οὔτε βροτοῖϲιν.
ὣϲ μὲν καὶ Πηλῆι θεοὶ δόϲαν ἀγλαὰ δῶρα
ἐκ γενετῆϲ· πάνταϲ γὰρ ἐπ' ἀνθρώπουϲ ἐκέκαϲτο
ὄλβῳ τε πλούτῳ τε, ἄναϲϲε δὲ Μυρμιδόνεϲϲι,

---

V. L. 521 υἷαϲ Vrat. A. υἱοὺϲ E. ἐξενάριξε LS Cant. Pap. 1. man. ϲιδήρειον δέ οἱ D. — 522 κατὰρ AC. κατά ῥ' E. κατ' ἂρ GH. καταρέζευ D. καταῤάζει L. ΑΛΛΑΓΕ pro ἄλγεα Pap. 1. man. δ' omitt. H. — 523 θυμοῦ L. — 524 οὐ γάρ τίϲ τ' ἄνυϲιϲ ἐν ἄλλῳ A. — 525 ὡϲ AD 1. man. βροτοῖϲι ACDEGHL Et. Mg. 198, 3. Plutarchus Consol. ad Apoll. 6. Stobaeus Flor. LXLVIII, 50 et 75. CXXIV, 14. βροτοῖϲιν Plato Axioch. 367 D. — 526 ἀχνυμένοιϲ ACDGHL Townl. Lips. Plato Axioch. 367 D. Plutarchus Consol. ad Apoll. 6. Stobaeus Flor. LXLVIII 50 et 75: ἀχνυμένουϲ ES edd. vett. Et. Mg. 198, 3. Stob. Floril. CXXIV, 14. εἰϲὶ ADGHL. — 527 ΚΑΤΑΚΕΙΑΘΕ Pap. — 528 δὲ: δ' L. ἑάων CDEGHL Schol. Γ 65. εάων A. ἐάων Plutarchus Cons. ad Apoll. 6. Schol. Pind. Pyth. III, 141. κηρῶν ἔμπλειοι, ὁ μὲν ἐϲθλῶν, αὐτὰρ ὁ δειλῶν Plato Rep. II, 379 D. Eusebius Praep. Evang. XIII, 3, 12. totus versus aberat a Townl. — 529 κ' ἀμμίξαϲ AG. alludit Plato l. l. ᾧ μὲν ἂν μίξαϲ ὁ Ζεὺϲ δῷ. κ' ἀμύξαϲ L. ΑΜΜΕΙΞΑϹ Pap. καμμίξαϲ CDEHS Plutarchus l. l. Schol. Pind. Pyth. III, 141. ita editores usque ad Wolfium, qui κ' ἀμμίξαϲ restituit. δώηι AD. δώῃ Schol. Pind. Pyth. III, 141. δώῃ CGHL. δῴη E Plutarchus Cons. ad Apoll. 6. δῴη editum erat: δοίη Wolfius ex coni. scripsit, eumque secuti sunt Bekk. 1. Bothe. Spitzner. Crusius. Dindorf. conf. 581. — 530 κακῷ ἐπιμίϲγεται Schol. Pind. Pyth. III, 141. — 531 δώηι A. δώῃ CHL. δῴη EG Plutarchus. δοίη D. ἔθηκε ACEGH. — 532 τὸν δὲ κακὴ Plato Rep. II, 379 D. βούβρωϲιϲ G Flor. ἐπι AD. — 533 ΤΕΤΕΙΜΕΝΟϹ Pap. βροτοῖϲι D. — 534 ὡϲ ACD 1. man. — 535 ΕΠ Pap. 2. man. ΕϹ 1. man. — 536 μυρμιδόνεϲϲι ACDEGHL.

---

A. c. 522 κατ' ἄρ' ἕζευ, non ἵζευ, Aristarchus.

καί οἱ θνητῷ ἐόντι θεὰν ποίηϲαν ἄκοιτιν.
ἀλλ᾽ ἐπὶ καὶ τῷ θῆκε θεὸϲ κακόν, ὅττί οἱ οὔ τι
παίδων ἐν μεγάροιϲι γονὴ γένετο κρειόντων,
ἀλλ᾽ ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
γηράϲκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρηϲ
ἧμαι ἐνὶ Τροίῃ ϲέ τε κήδων ἠδὲ ϲὰ τέκνα.
καὶ ϲὲ γέρον τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅϲϲον Λέϲβοϲ ἄνω, Μάκαροϲ ἕδοϲ, ἐντὸϲ ἐέργει
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήϲποντοϲ ἀπείρων,
τῶν ϲε γέρον πλούτῳ τε καὶ υἱάϲι φαϲὶ κεκάϲθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ᾽ ἤγαγον Οὐρανίωνεϲ,
αἰεί τοι περὶ ἄϲτυ μάχαι τ᾽ ἀνδροκταϲίαι τε.;
ἄνϲχεο, μὴ δ᾽ ἀλίαϲτον ὀδύρεο ϲὸν κατὰ θυμόν·
οὐ γάρ τι πρήξειϲ ἀκαχήμενοϲ υἷοϲ ἑῆοϲ,
οὐδέ μιν ἀνϲτήϲειϲ, πρὶν καὶ κακὸν ἄλλο πάθηϲθα.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμοϲ θεοειδήϲ·
μή πώ μ᾽ ἐϲ θρόνον ἵζε διοτρεφέϲ, ὄφρά κεν Ἕκτωρ
κῆται ἐνὶ κλιϲίῃϲιν ἀκηδήϲ, ἀλλὰ τάχιϲτα
λῦϲον, ἵν᾽ ὀφθαλμοῖϲιν ἴδω· ϲὺ δὲ δέξαι ἄποινα

---

V. l. 538 ἔπι A. ἐπι D. ὅττί οἱ A. ὅτι οἱ E. οὔτοι Vrat. d. — 540 παῖδ᾽ ἔτεκε Lips. παῖδ᾽ ἔτεκεν Apoll. Soph. 127, 13. τέκε C. παναώριον A. τόνδε Lips. — 542 εἶμαι Schol. O 10. ἐνι AD. ЄΝЄΙ Pap. 1. man. ЄΝΙ 2. man. — 543 τοπρῖν C. — 544 ὅϲοϲ S. λέϲβου L. ἄνω omitt. L. μακάρων Lips. Suidas I, 1, 456, 12. Dio Chrysost. Or. XXIII. Plutarchus de Exilio 10. ΜΑΚΑΡΟϹ (ΩΝ superscr.) Pap. (ων 2. man.) μάκαροϲ πόλιϲ Strabo XIII, 586. — 545 φρυγίηϲ Vrat. A. ЄΛΛΗϹΠΟΝΤΟΝ (Ϲ superscr.) Pap. Ϲ 2. man. add. ἑλλίϲποντοϲ L. — 546 τῶ AD. ΤΩ Pap. τῷ Mor. Lips. Townl. Eust. 866, 70. τῶν ἢ τῷ E. τῶν γε γερόντων L. ϲὲ E. τὲ καὶ A. υἱᾶϲι φαϲὶ κεκᾶϲθαι D. — 547 ἐπί τοι G. — 549 ἴϲχεο Vrat. A. Stobaeus Floril. CXXIV, 1. μήδ᾽ CDEGH. κατα AD. — 550 γὰρ τοι H. γάρ τοι πρῆξιϲ L. τι add. Pap. 2. man. ΠΡΗ͂ΞЄΙϹ Pap. ἑῆοϲ CDEGH Schol. Ω 528. υἱέοϲ αἰνῶϲ Stobaeus l. l. — 551 ΑΝϹΤΗ͂ϹЄΙϹ Pap. — 553 μή πω μ᾽ A. Schol. Υ 464. Cram. Epim. 308, 20: vulgo μή μέ πω. μή με πω DH Pap. μὴ δέ πω L. ἵζεο διοτροφὲϲ H. ἶζε E. ὄφρά κεν AC. ΟΦΡΆΚЄΝ Pap. — 554 κῆται A Pap. κεῖται CDEGHLS et Heynii libri. ἐνι A. ἐνι-κλιϲίηϲ᾽ D. — 555 ϲὺ δὲ — φέρομεν (556) omitt. Lips.

---

A. c. 540 παναώριον ἐδαϲύνετο παρά τιϲι Eust. 1364, 26. οἱ μὲν ἐδάϲυναν, οἱ δὲ ἐψίλωϲαν Herodianus. — 546 ἀρίϲταρχοϲ ϲὺν τῷ ν̄ τῶν ϲε Didymus. — 550 ἑῆοϲ: ὅτι Ζηνόδοτοϲ γράφει ἑοῖο Aristonicus, conf. Schol. A 393. Ω 528. — 553 μή πω μ᾽ laudat Herodianus ad Υ 464 idque recepi ex optimo codice.

πολλά, τά τοι φέρομεν· cὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
cὴν ἐc πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔαcαc
[αὐτόν τε ζώειν καὶ ὁρᾶν φάοc ἠελίοιο].
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
μηκέτι νῦν μ' ἐρέθιζε γέρον· νοέω δὲ καὶ αὐτὸc
Ἕκτορά τοι λῦcαι· Διόθεν δέ μοι ἄγγελοc ἦλθε
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντοc.
καὶ δέ cε γιγνώcκω Πρίαμε φρεcίν, οὐδέ με λήθειc,
ὅττι θεῶν τίc c' ἦγε θοὰc ἐπὶ νῆαc Ἀχαιῶν.
οὐ γάρ κε τλαίη βροτὸc ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
ἐc cτρατόν· οὐδὲ γὰρ ἂν φυλακοὺc λάθοι, οὐδέ κ' ὀχῆα
ῥεῖα μετοχλίccειε θυράων ἡμετεράων.
τῶ νῦν μή μοι μᾶλλον ἐν ἄλγεcι θυμὸν ὀρίνηc,

---

V. ι. 556 φέρομαι ἢ φέρομεν Eust. 1364, 57. φέρομαι Mor. cὺ δ' ἀπόναιο L. ἔλθηc Townl. Vrat. A. — 557 πρῶτοc Eust. 1365, 53. Mor. πρῶτοc ἢ πρῶτον E 1364, 58. ἔαcαc A, addito altero spiritu. ἔαcαc Et. Mg. 307, 6. 398, 6. ἦcαc Et. Gud. 188, 5. apud Zonar. 593 et 904 editum est ἔαcαc sed legendum ἔαcαc. — 558 omitt. DE Pap. 1. man. Townl. Lips. Vrat. d. in margine Pap. scriptum est κατω et in ima columna ΑΥΤΟΝΤΕΖΩΕΙΝ ΚΑΙ ΟΡΑ͂ΙΝ ΦΑΟϹ ΗΕΛΊΟΙΟ. in A versui signum est adpictum, quo insiticius esse declaratur, conf. P 219. adscripsit librarius οὗτοc ὁ cτίχοc οὐχ εὑρέθη ἐν τῷ παλαιῷ (i. e. in archetypo). αὐτόν τε ζώειν omitt. Vrat. A. — 559 ἆρ CDEGH. δὰρ A. ἀχϊλεύc C. — 560 μὴ κέτι A. μηκέτι μή μ' L. γέρων H. — 561 ἦλθε ACDEGH Plutarchus de Aud. poët. 11. — 562 ἔτεκε D. ἔτικτε C. — 563 δὲ cὲ A. γινώcκω ACDEGHL Vrat. A. ΓΕΙΝΩϹΚΩ Pap. — 564 τῒc c' C. θεῶν cε τιc L. θεόc cε τιc Cant. θεόc Vrat. A. c' omitt. GS edd. vett. — 565 κε AH: κεν CDEGLS Pap. τλαίηι A. — 566 ἐcτρατὸν D. οὐδε γαρ A et in marg. ἐν ἄλλῳ οὔτε γὰρ ἄν. φυλακοὺc ADEGLS Pap. 2. man. Et. Mg. 802, 3. φύλακαc CH Pap. 1. man. λάθῃ Et. Mg. 802, 3 cum Vrat. A. οὐδέ τ' (κ supra) A. ὀχῆα A Townl. Vrat. b. d. ὀχεῖα L. ὀχῆαc CDEGHS conf. 466. — 567 μετ' ὀχλίccειε A. μετοχλίcειε E bis G et plerique Heynii libri. μετοχλήcειε D. μετοχλίccει S. — 568 τῶ ACDHL. τῷ G. ἐν omitt. L. γρ. ἐνιφρεcὶ A. ΟΡΕΙΝΟΙϹ Pap. 1. man. ΝΗϹ in marg.

---

A. c. 556, 557 ἀθετοῦνται Aristonicus. — 557 ἔαcαc Trypho et Herodianus: ἔαcαc Didymus et Hermappias. πρῶτ' ἐλέηcαc Dion. Sidonius. — 558 hunc veteribus grammaticis incognitum fuisse confirmant interpretationes verbi ἐάcαc. additus est ab interpolatore Herodiani aevo recentiore, cui sententia non satis perspicua videbatur, quod factum videmus etiam Β 206. Θ 183. Υ 312. conf. Θ 235. Κ 531. Ν 316. Ξ 269. Π 381. Ψ 565. Ω 693; et ab interpolatoribus veteris aevi Γ 352. Ε 808. Θ 528. Ι 44. 416. Κ 497. Λ 705. Μ 450. Ξ 114. Ο 33. Π 261. Τ 77. 94. 327. — 565 ἔξω τοῦ ν̄ ὁ κε cύνδεcμοc Didymus. — 566 φυλακούc Aristarchus, conf. Schol. Aristonici, Herodiani. Eust. 1365, 44. Et. Mg. 802, 3. ὀχῆα, non ὀχῆαc, Aristarchus.

μή cε γέρον οὐδ' αὐτὸν ἐνὶ κλιcίῃcιν ἐάcω
καὶ ἱκέτην περ ἐόντα, Διὸc δ' ἀλίτωμαι ἐφετμάc.
ὣc ἔφατ', ἔδειcεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ.
Πηλεΐδηc δ' οἴκοιο λέων ὣc ἆλτο θύραζε,
οὐκ οἶοc, ἅμα τῷ γε δύω θεράποντεc ἕποντο,
ἥρωc Αὐτομέδων ἠδ' Ἄλκιμοc, οὕc ῥα μάλιcτα
τῖ' Ἀχιλεὺc ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα,
οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππουc ἡμιόνουc τε,
ἐc δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντοc,
κὰδ δ' ἐπὶ δίφρου εἷcαν· ἐυccώτρου δ' ἀπ' ἀπήνηc
ᾕρεον Ἑκτορέηc κεφαλῆc ἀπερείcι' ἄποινα.
κὰδ' δ' ἔλιπον δύο φάρε' ἐυννητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάcαc δοίη οἶκον δὲ φέρεcθαι.
δμῳὰc δ' ἐκκαλέcαc λοῦcαι κέλετ' ἀμφί τ' ἀλεῖψαι,
νόcφιν ἀειράcαc, ὡc μὴ Πρίαμοc ἴδοι υἱόν,
μὴ ὃ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύcαιτο
παῖδα ἰδών, Ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ,
καί ἑ κατακτείνειε, Διὸc δ' ἀλίτηται ἐφετμάc.

---

V. L. 569 γέρον libri: γέρων Plutarchus de Aud. poët. 11. ον̄ in caesura semiternaria producitur Δ 27. Κ 7. Λ 474. Ν 558. C 238. 591. Χ 198. β 41. δ 531. ε 266. λ 602. ο 104. 123. ρ 35. υ 374. φ 224.
ην
χ 499. ἐνι AD. — 570 ἱκέτις H. δ' omitt. AC. — 571 ὡc A. ἔδειcεν E. ἔδδειcε GL Flor. vulgo ἔδδειcεν. μαθεῖν H 1. man. pro μύθῳ. — 572 ὡc AD. ἆλτο C. χαμάζε L. — 573 θεράποντε S Cant. θεράποντεc δύ' ἕποντο D. — 574 αὐτομέδων τε καὶ L (om. καὶ) S et olim vulgo. αὐτομέδων ἠδ' ACDGH Barocc. Townl. Vrat. b. οὓc ῥὰ GL. τούc ῥα D. — 575 τί' ADG. μετα A. — 576 ὑπο A. ἀπὸ Vrat. A. λύων D 1. man. ἵππουc θ' Townl. — 578 καδδ' ACDL. ἐπι AD. ἐϋccώτρου D Pap. Townl.
c
Vrat. b. ἐϋcώτρου Vrat. A. ἐcωτέρου Lips. εἶcαν δυcώτρου δ' ἀπήνηc L. γρ. ἐϋccώτρου A. vulgo ἐϋξέcτου. ἀπ' omitt. GH. ЄΠ Pap. hunc et sequentem omitt. H 1. man. — 579 ἤρεον C. — 580 καδδ' ACDGHL. ἐϋνητόν EG. ἐΰνητον S Flor. Rom. εὔνητόν L. εὔνητον Lips. Vrat. A.
οι
ΓΙΤΩΝΑ Pap. 1. man. — 581 δώιη A. δοίη Pap. Vrat. d. δῴη DES. δώη CHL. οἶκον δὲ AG. οἴκον δὲ D. οἶκονδε CH. οἴκονδε L. — 582 δμωιὰc A. ceteri[δμωὰc. δμῶαc S. ἀμφι D. — 583 ἴδη CL. ἴδῃ Lips. Cant. Barocc. Mor. Townl. — 584 ΑΧΝΥΜΕΝΟΙ Pap. 1. man. ἀχνυμένην δίηχόλον H. οὐ κατερύξη L. κατερύξει Lips. — 585 ἀχιλλῆϊ G.

---

A. c. 569 μή cε Herodianus, ἐγκλιτικῶc. — 579 ᾕρεον Herodianus, δαcέωc. — 584 χόλον: Ἡρωδιανὸc γόον γράφει Schol. B. Ῥιανὸc χόλον (cod. κόλον). οἳ δὲ κότον (cod. κόπον)· ἄμεινον δὲ γόον Schol. V. ἔν τιcι κότον κατερύκοι· ἄμεινον δὲ χόλον Schol. A.

τὸν δ' ἐπεὶ οὖν δμῳαὶ λοῦϲαν καὶ χρῖϲαν ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶροϲ καλὸν βάλον ἠδὲ χιτῶνα,
αὐτὸϲ τόν γ' Ἀχιλεὺϲ λεχέων ἐπέθηκεν ἀείραϲ,
ϲὺν δ' ἕταροι ἤειραν ἐυξέϲτην ἐπ' ἀπήνην.
ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
μή μοι Πάτροκλε ϲκυδμαινέμεν, αἴ κε πύθηαι
εἰν Ἄϊδόϲ περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυϲα
πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
ϲοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάϲϲομαι, ὅϲϲ' ἐπέοικεν.
ἦ ῥα, καὶ ἐϲ κλιϲίην πάλιν ἤιε δῖοϲ Ἀχιλλεύϲ,
ἕζετο δ' ἐν κλιϲμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέϲτη,
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
υἱὸϲ μὲν δή τοι λέλυται γέρον, ὡϲ ἐκέλευεϲ,
κεῖται δ' ἐν λεχέεϲϲ'· ἅμα δ' ἠοῖ φαινομένηφιν
ὄψεαι αὐτὸϲ ἄγων· νῦν δὲ μνηϲώμεθα δόρπου.
καὶ γάρ τ' ἠύκομοϲ Νιόβη ἐμνήϲατο ϲίτου,
τῇ περ δώδεκα παῖδεϲ ἐνὶ μεγάροιϲιν ὄλοντο,
ἓξ μὲν θυγατέρεϲ, ἓξ δ' υἱέεϲ ἡβώοντεϲ.
τοὺϲ μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
χωόμενοϲ Νιόβῃ, τὰϲ δ' Ἄρτεμιϲ ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ἰϲάϲκετο καλλιπαρῄῳ.
φῆ δοιὼ τεκέειν, ἣ δ' αὐτὴ γείνατο πολλούϲ·
τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάνταϲ ὄλεϲϲαν.

V. L. 587 δμωιαὶ solus A. ΧΡΕΙϹΑΝ Pap. 1. man. χρίϲαν CEG. — 588 ἄμφι D. φάροϲ GH. — 589 ἀχιλλεὺϲ EG. ἀείραϲ ἐπέθηκεν D. — 590 ϲυν D. ἄειρον Vrat. A. ἐπ' [α] A. ἀπηνην [ι] A. — 591 ᾤμοξεν L. ἂρ CD EGL. ἂν H pro ἄρ'. φίλον τ' E Mor. — 595 ϲοὶ δ' ἂν ἐγὼ S Cant. ἀποδάϲομαι DG Vrat. A. edd. vett. ὅϲϲ': ΩϹ Pap. 1. man. ἐπέοικε E. — 596 ῥά CGL. ἀχῖλεύϲ C. — 597 ἵζετο Lips. δ' ἐ H pro δ' ἐν. — 598 ποτι D. — 599 ὡϲ ἐκέλευεϲ AEGHS. ὡϲ ϲὺ κελεύειϲ CDL Lips. ὡϲ ἐκέλευϲαϲ Townl. Barocc. γρ. ὡϲ ἐκέλευϲαϲ A. — 600 λεχέεϲϲιν ἠοῖ δ' ἅμα L. λεχέεϲϲιν Lips. φαινομένηφι CDGHL Pap. φαινομένῃφι AE Vrat. A. — 602 ϹΕΙΤΟΥ Pap. 1. man. δόρπου C. — 603 τῇ καὶ Apoll. Soph. 152, 5. τῆϲ περ Vrat. d. ἐνι AD. ἐνὶμμεγάροιϲϊν C. ΕΝΙΜΜΕΓΑΡΟΙϹΙΝ Pap. μεγάροιϲι H. μεγάροιϲιν λίποντο Apoll. Soph. 152, 5. — 604 δ' omitt. D. ἡβώωντεϲ ES Stobaeus Floril. CXXIV, 4. — 605 ἀπαργυρέοιο D. ἐπ' L. — 607 οὕνεκά οἱ Tzetzes Alleg. 272. δή τοι pro λητοῖ D. ΕΪϹΑϹΚΕΤΟ Pap. εἰϲάϲκετο L. ἰϲάϲαιτο H. — 608 δ' οἴω D. ἢ δ' L. τέκετο πολλούϲ D. — 609 καὶ δῖω G. ἐόντε D. ἀπο AD. ὄλεϲαν DE.

A. c. 594, 595 ἀθετοῦνται Aristonicus. — 604 υἱέεϲ: γράφεται καὶ υἱεῖϲ· διχῶϲ οὖν Didymus (?).

οἳ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
καταθάψαι, λαοὺς δὲ λίθους ποίηϲε Κρονίων·
τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δάκρυ χέουσα.
νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώιον ἐῤῥώσαντο,
ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα δῖε γεραιὲ
σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα,
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.
ἦ, καὶ ἀναΐξας ὄιν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
μίστυλλόν τ' ἄρ' ἐπισταμένως πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα.
Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
ἤ τοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
ὅσσος ἔην οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει.
αὐτὰρ ὁ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεύς,
εἰσορόων ὄψίν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.

---

V. L. 610 οἳ μὲν C. ἂρ ACDEGHL. ἐννῆμαρ L. κέατο H. — 611 ΚΑΘΘΑΨΑΙ Pap. 1. man. Vrat. A. ΚΡΟΝΕΙΩΝ Pap. 1. man. — 613 ἤδ' CGL. ϹΕΙΤΟΥ Pap. 1. man. δάκρυ χέουσα A. ceteri δακρυχέουσα. — 614 ἐνούρεσιν D. ἐούρεσιν L. οἰοπόλοισιν A. — 615 φασὶ τυφώεος (ή) Schol. Soph. El. 151, conf. B 783. ЄΜΜΕΝЄ Pap. — 616 ἀχελώϊον A. τινὲς ἀχιλήιον γράφουσι Eust. 1367, 62. ἐῤῥύσαντο Vrat. d. — 618 ΔΕΙΕ Pap. 1. man. — 619 ϹΕΙΤΟΥ Pap. 1. man. κλαίῃσθα Eust. 1367, 15; sed 1368, 28 κλαίοισθα. — 620 δέ τι G. — 621 ὠκὺς ἄργυφον G. ἀχϊλεὺς C. — 622 σφάζ' L Lips. δὲ δέρον DL. — 623 ἂρ ACDEGHL. ὀβελοῖσι C Pap. (sine acc. et spir.). — 625 ϹΕΙΤΟΝ Pap. 1. man. — 626 καλλοῖς H. ἀχϊλεύς C. — 627 οἳ δ' D. οἵδ' CGL. ΠΡΟΚΕΙΜΕΘΑ Pap. — 628 ἐξέρον D. ἕντο DGH Flor. ἕντο L. — 629 ἀχιλλῆα H. — 631 ὁ ACD. ὁ omitt. GHL edd. vett. ὁ Heynius laudat ex Cant. Mor. θαύμαζ' L Lips. ἀχϊλεύς C. — 632 τ' ὄψιν ἀγαθὴν L. μύθων Flor.

---

A. c. 614—617 ἀθετοῦνται Aristonicus. προηθετοῦντο καὶ παρ' Ἀριστοφάνει Didymus. — 616 Ἀχελώιον: ἢ διὰ τοῦ η̄ Ἀχελήιον Schol. ABD. τινὲς ἀμφ' Ἀχελήσιον Schol. V.

αὐτὰρ ἐπεὶ τάρπηϲαν ἐϲ ἀλλήλουϲ ὁρόωντεϲ,
τὸν πρότεροϲ προϲέειπε γέρων Πρίαμοϲ θεοειδήϲ·
λέξον νῦν με τάχιϲτα διοτρεφέϲ, ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντεϲ·
οὐ γάρ πω μύϲαν ὄϲϲε ὑπὸ βλεφάροιϲιν ἐμοῖϲιν,
ἐξ οὗ ϲῇϲ ὑπὸ χερϲὶν ἐμὸϲ πάιϲ ὤλεϲε θυμόν,
ἀλλ' αἰεὶ ϲτενάχω καὶ κήδεα μυρία πέϲϲω
αὐλῆϲ ἐν χόρτοιϲι κυλινδόμενοϲ κατὰ κόπρον.
νῦν δὴ καὶ ϲίτου παϲάμην, καὶ αἴθοπα οἶνον
λαυκανίηϲ καθέηκα· πάροϲ γε μὲν οὔ τι πεπάϲμην.
ἦ ῥ', Ἀχιλεὺϲ δ' ἑτάροιϲιν ἰδὲ δμῳῇϲι κέλευϲε
δέμνι' ὑπ' αἰθούϲῃ θέμεναι, καὶ ῥήγεα καλὰ
πορφύρε' ἐμβαλέειν, ϲτορέϲαι τ' ἐφύπερθε τάπηταϲ,
χλαίναϲ τ' ἐνθέμεναι οὔλαϲ καθύπερθεν ἕϲαϲθαι.
αἳ δ' ἴϲαν ἐκ μεγάροιο δάοϲ μετὰ χερϲὶν ἔχουϲαι,
αἶψα δ' ἄρ' ἐϲτόρεϲαν δοιὼ λέχε' ἐγκονέουϲαι.
τὸν δ' ἐπικερτομέων προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
ἐκτὸϲ μὲν δὴ λέξο γέρον φίλε, μή τιϲ Ἀχαιῶν

V. l. 634 προϲέειπεν D. — 635 λέξον δή μοι C. νῦν μοι H Lips. ὄφρά C. καὶ ADEGL Pap. Lips. Vrat. A. κεν CHS conf. δ 294. ψ 254.
ταρπ
— 636 ὑπο A. ὑπὸ CDEGHL. παυϲώμεθα L Lips. Vrat. A. παυϲώμεθα A. ταρπόμεθα H. κοιμηθέντε D Pap. — 637 γάρ που Lips. μῦϲαν CH. ὄϲϲ' A. ὑπο A. ἐπῖ C. — 638 ὑπο A. πάϊϲ ACDEGHL. — 639 πέϲϲω:
ε
γρ. πάϲχω Vrat. b. — 640 περὶ κόπρον D. — 642 λαυκανίηϲ C Pap. λευκανίηϲ DS Cant. Mor. Harl. Vrat. A. conf. X 325. μεθέηκα C. καθίηκα H. γε μὴν H. — 643 ἀχιλλεὺϲ GH. ἠδὲ D. δμώιηιϲι A. δμωῖϲι L. κέλευϲε ACGH. κέλευε E Lips. Rom. — 644 δαίμνι' D. αἰθούϲϲηι A.
ϲ
αἰθούϲηι D. — 645 ЄΝΒΑΛЄЄΙΝ Pap. ἐϲβαλέειν H. ϲτορέϲαί τ' D. τ' ἐφύπερθεν ἕϲαϲθαι H omisso versu 646. τάπητα Vrat. A. — 646 οὔλαϲ τ' ἐφύπερθεν L Lips. καθ' ὕπερθεν D. — 647 αἳ δ' D. αἴδ' CGL. δάδαϲ L Lips. conf. ad δ 300. μετα A. — 648 ἂρ ἐϲτόρεϲαν CDHLS. ita editum erat usque ad Heynium, conf. δ 301. ἀλλ' ὅγ' ἄρ' ἔτρεϲε O 586. οἳ μὲν ἄρ' ἐϲκίδναντο T 277. Ψ 3. β 258. οἳ μὲν ἄρ' ἐθρήνεον Ω 722 (?). ἄρα ϲτόρεϲαν AG Townl. ЄΝΚΟΝЄΟΥϹΑΙ Pap. — 649 ἀχῖλεύϲ C. — 650 μέν τοι L. δὴ omitt. Lips. λέξον DG Vrat. A Flor. λέξω H. λέξεο S.

A. c. 636 παυϲώμεθα: οὕτωϲ ἀρίϲταρχοϲ ἀντὶ τοῦ ἀναπαυϲώμεθα. ἀπρεπὲϲ γὰρ τὸ λέγειν τὸν πρίαμον ταρπώμεθα Didymus, conf. 633. — 648 ἄρα ϲτόρεϲαν δοιὼ λέχε': οὕτωϲ ἀρίϲταρχοϲ ϲτόρεϲαν δυϊκῶϲ Didymus. reponendum videtur ϲτόρεϲαν ἰακῶϲ, vel quod veri similius est, ϲτόρεϲαν δοιὼ λέχε' δυϊκῶϲ (non πυκινὸν λέχοϲ ut η 340. ψ 291).

ἐνθάδ᾽ ἐπέλθηϲιν βουληφόροϲ, οἵ τέ μοι αἰεὶ
βουλὰϲ βουλεύουϲι παρήμενοι, ἣ θέμιϲ ἐϲτι·
τῶν εἴ τίϲ ϲε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ᾽ ἂν ἐξείποι Ἀγαμέμνονι, ποιμένι λαῶν,
καί κεν ἀνάβληϲιϲ λύϲιοϲ νεκροῖο γένηται.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέωϲ κατάλεξον,
ποϲϲῆμαρ μέμοναϲ κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέωϲ αὐτόϲ τε μένω καὶ λαὸν ἐρύκω.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμοϲ θεοειδήϲ·
εἰ μὲν δή μ᾽ ἐθέλειϲ τελέϲαι τάφον Ἕκτορι δίῳ,
ὧδέ κέ μοι ῥέζων Ἀχιλεῦ κεχαριϲμένα θείηϲ.
οἶϲθα γὰρ ὡϲ κατὰ ἄϲτυ ἐέλμεθα, τηλόθι δ᾽ ὕλη
ἀξέμεν ἐξ ὄρεοϲ· μάλα δὲ Τρῶεϲ δεδίαϲιν.
ἐννῆμαρ μέν κ᾽ αὐτὸν ἐνὶ μεγάροιϲ γοάοιμεν,
τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαόϲ,
ἑνδεκάτῃ δέ κε τύμβον ἐπ᾽ αὐτῷ ποιήϲαιμεν,
τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴ περ ἀνάγκη.
τὸν δ᾽ αὖτε προϲέειπε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ·
ἔϲται τοι καὶ ταῦτα γέρον Πρίαμ᾽, ὡϲ ϲὺ κελεύειϲ·

---

V. l. 651 ἐπέλθηϲι EGH Cram. Epim. 332, 24. ἀπέλθηϲιν Bachm. Anecd. II, 87, 7. οἵ τέ μοι ACEGL Bachm. Anecd. II, 87, 7. Et. Gud. 654, 12. Cram. Ep. 332, 24. — 652 ή A. ἡ D. ῆ E. ῃ CGHLS. ἐϲτὶ ACD. — 653 εἴ τϊϲ ϲε CDH. εἴδοιτο E. δια A. — 654 ΑΥΤΙΚΑΔ Pap. 1. man. ΑΥΤΙΚ᾽ ΑΝ in marg. — 655 νεκροῖο λύϲιοϲ ἐϲεῖται C. γένοιτο DES. — 656 κατάλεξον: ἀγόρευϲον H Barocc. Mor. Vrat. d. — 657 ποϲϲῆμαρ A. πόϲϲ᾽ ἦμαρ D. — 658 αὐτὸϲ μενέω Apoll. Soph. 151, 34. μένω omitt. L Lips. — 659 γέρον (ω above ο) H. — 660 μ᾽ omitt. L Lips. με θέλειϲ H. — 661 ὧδέ C. κε μοι CGH. ῥέξαϲ Lips. ῥέξαϲ ἢ ῥέζων E. ἀχιλλεῦ EH. θήϲειϲ Vrat. A. — 662 ΥΛΗΝ Pap. 1. man. — 663 ἐξορέοϲ A. μάλα γὰρ HLS Cant. Barocc. Mor. Lips. Vrat. d. A. τρῷεϲ L. — 664 μέν γ᾽ C. κ᾽ omitt. E. ἐνι A. μεγάροιϲι D. ἐνὶμμεγάροιϲ C. ΕΝΙΜΜΕΓΑΡΟΙϹ ΓΟΟΩΜΕΝ Pap. — 665 δὲ καὶ θάπτοιμεν G. δαινῦτό AH. δαινυτο D. δαίνῦτό C. δαίνυτό EGLS Lips. Townl. Vrat. d. A. edd. vett. — 666 ἐνδεκάτῃ EL. — 667 δυωδεκάτηι C. ΠΤΟΛΕΜΊΞΟΜΕΝ Pap. πολεμίζομεν H Harl. πτολεμίζομεν Vrat. A. ἀνάγκηι A. — 668 προϲέειπεν D. ἀχϊλεύϲ C. — 669 ἔϲταί τοι C. πρίαμε C.

---

A. c. 657 ποϲϲῆμαρ Herodianus, ὑφ᾽ ἕν. — 663 ἀρίϲταρχοϲ μάλα γάρ, οὐ μάλα δέ Didymus. Δίδυμοϲ μάλα γάρ, οὐ δέ Schol. V. poteιat scriptura γάρ orta esse ex interpretatione Aristarchea τὸ δὲ ἀντὶ τοῦ γάρ. — 665 δαινῦτο Herodianus cum Philoxeno, conf. λελῦτο ϲ 238 φθῖτο λ 330. φθίμην κ 51. ἐκδῦμεν Π 99. δύῃ ι 377. ϲ 348. υ 286.

σχήσω γὰρ πόλεμον τόσσον χρόνον, ὅσσον ἄνωγας.
ὣς ἄρα φωνήσας ἐπὶ καρπῷ χεῖρα γέροντος
ἔλλαβε δεξιτερήν, μή πως δείσει' ἐνὶ θυμῷ.
οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες,
αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
τῷ δὲ Βρισηὶς παρελέξατο καλλιπάρῃος.
ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ.
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
ὁρμαίνοντ' ἀνὰ θυμόν, ὅπως Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε λαθὼν ἱεροὺς πυλαωρούς.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ' εὕδεις
ἀνδράσιν ἐν δηίοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
γνώῃ σ' Ἀτρεΐδης, γνώωσι δὲ πάντες Ἀχαιοί.
ὣς ἔφατ', ἔδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε,

V. l. 670 πόλεμον τόσσον χρόνον CDHLS Pap. Cant. Barocc. Mor. Townl. Lips. Vrat. b. τόσσον πόλεμον χρόνον A (sic). τόσσον πόλεμον χρόνον EG edd. vett. ὡς σὺ ἄνωγας ἢ ὅσσον ἄνωγας E. — 671 ὡς A. ἐπι AD. — 672 ἔλαβε GH Vrat. A. Flor. ΔΕΞΙΤΕΡΗΙ Pap. I add. 2. man. δείσῃ EG. δείσῃ CHLS. δείσει D. δήσει Vrat. b. ἐνι A. — 673 τὼ μὲν C. ἂρ ADGL. αὐτόθι: ΑΫ́ΤΟΫ́ Pap. κοιμίσαντο Eust. 1369, 28; sed 1371, 5 κοιμήσαντο. — 674 κήρυξ EL. πυκνὰ S. — 675 ἀχϊλεὺς C. εὗδε omitt. C. ἐϋπήκτου CGL: ceteri εὐπήκτου. — 676 τὼ δὲ C. τῷδε S. τῷ δ' ἄρα A Barocc. Mor. δ' ἂρ Rom. τὼ δε βρ A in marg. — 677 μὲν ῥὰ L. — 679 ἑρμείην G Flor. ceteri ἑρμείαν. ἔμαρπτεν ὕπνος H. — 682 ἂρ ACDGHL. ὑπερ A. — 683 οὐ CE. οὔ νυ τί σύγε H. οὔ νύ τί σοι μέλλει Townl. — 684 ἀχϊλεὺς C. — 686 κεν ACDEGHL Pap. κε Lips. — 687 παῖδές τοι CD. τοι H. παῖδές τε Vrat. d. ἐγκλιτικῶς γράφουσι παῖδές τοι Eust. 1371, 31. μετ' ὄπισθε A. ΛΕΛΙΜΜΕΝΟΙ Pap. — 688 γνώῃ DHL Pap. Vrat. A. γνῴη Lips. Townl. γνοίη (ω) A γνοίῃ CGS. γνοίῃσι E. — 689 ὡς A. ἔδδεισε L Lips. — 690 τοῖσιν δ' ACDHLS Harl. Townl. Vrat. A. τοῖσι δ' G Lips. Flor. τοῖσι δ' ἂρ Rom.

A. c. 672 δείσῃ editum erat, donec Wolfius ex Veneto A δείσει' revocavit. de coniunctivo praecedente aoristo conf. ad Τ 354. H. U. 292. — 677 ἄλλοι: conf. ad Β 1. Κ 1. — 687 παῖδες τοὶ λελειμμένοι. conf. Ζ 201 πεδίον τὸ ἀλήιον. Ν 794 ἠοῖ τῇ προτέρῃ. Ι 219. Ξ 213. Π 358. μ 252. ξ 61.

ῥίμφα δ᾽ ἄρ᾽ αὐτὸϲ ἔλαυνε κατὰ ϲτρατόν, οὐδέ τιϲ ἔγνω.
ἀλλ᾽ ὅτε δὴ πόρον ἷξον ἐυῤῥεῖοϲ ποταμοῖο,
[Ξάνθου δινήεντοϲ, ὃν ἀθάνατοϲ τέκετο Ζεύϲ,]
Ἑρμείαϲ μὲν ἔπειτ᾽ ἀπέβη πρὸϲ μακρὸν Ὄλυμπον,
ἠὼϲ δὲ κροκόπεπλοϲ ἐκίδνατο πᾶϲαν ἐπ᾽ αἶαν.
οἳ δ᾽ εἰϲ ἄϲτυ ἔλων οἰμωγῇ τε ϲτοναχῇ τε
ἵππουϲ, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τιϲ ἄλλοϲ
ἔγνω πρόϲθ᾽ ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
ἀλλ᾽ ἄρα Καϲϲάνδρη, ἰκέλη χρυϲέῃ Ἀφροδίτῃ,
Πέργαμον εἰϲαναβᾶϲα φίλον πατέρ᾽ εἰϲενόηϲεν
ἑϲταότ᾽ ἐν δίφρῳ, κήρυκά τε ἀϲτυβοώτην·
τὸν δ᾽ ἄρ᾽ ἐφ᾽ ἡμιόνων ἴδε κείμενον ἐν λεχέεϲϲι·
κώκυϲέν τ᾽ ἄρ᾽ ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄϲτυ·
ὄψεϲθε Τρῶεϲ καὶ Τρῳάδεϲ Ἕκτορ᾽ ἰόντεϲ,
εἴ ποτε καὶ ζώοντι μάχηϲ ἐκ νοϲτήϲαντι
χαίρετ᾽, ἐπεὶ μέγα χάρμα πόλει τ᾽ ἦν παντί τε δήμῳ.
ὣϲ ἔφατ᾽, οὐδέ τιϲ αὐτόθ᾽ ἐνὶ πτόλεϊ λίπετ᾽ ἀνὴρ
οὐδὲ γυνή· πάνταϲ γὰρ ἀάϲχετον ἵκετο πένθοϲ·
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
πρῶται τόν γ᾽ ἄλοχόϲ τε φίλη καὶ πότνια μήτηρ
τιλλέϲθην, ἐπ᾽ ἄμαξαν ἐύτροχον ἀΐξαϲαι,
ἁπτόμεναι κεφαλῆϲ· κλαίων δ᾽ ἀμφίϲταθ᾽ ὅμιλοϲ.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐϲ ἠέλιον καταδύντα
Ἕκτορα δάκρυ χέοντεϲ ὀδύροντο πρὸ πυλάων,

---

V. L. 691 ἄρ ADGHL. κατα D. — 692 ἵξον GL. ἶξον A. — 693 omitt. AD Pap. Harl. habent CGHL. — 696 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ἑλων A. ἕλον Vrat. A. 1. man. et ἔχον ex corr. man. rec. ΕΤΕΝΑΧΗ Pap. 1. man. ϹΤΕΝΑΧΗΙ 2. man. — 697 ἄγον AL Lips. γρ. φέρον A. — 699 ἱκέλη CDGHL. χρυϲῆ ACEGHLS. χρυϲὴ D. ΑΦΡΟΔΕΙΤΗ Pap. 1. man. — 700 εἰϲ ἀναβᾶϲα AH. εἰϲ ἐνόηϲεν A. ΕΙϹΕΝΟΗϹΕ Pap. — 701 ἑϲτεῶτ᾽ D. ἀϲτυβοώτην A. — 702 ἄρ CDGHL. ἐφημιόνων D. λεχέεϲϲι ACDEGH. — 703 κώκυϲε Lips ἄρ ACDEGHL. γέγωνεν πᾶν L Lips. — 704 τρῷεϲ L. τρωϊάδεϲ ACDGL Cant. Harl. Townl. Lips. Flor. τρωϊάδεϲ ἢ τρῳάδεϲ E. conf. Ζ 442. Η 297. Χ 105. — 705 ΖΩΟΝΤΕ Pap. ἐκνοϲτήϲαντι ACDEGHL. — 706 πόλι L. — 707 ὡϲ A. αὐτῷ ἐνὶ S. ἐνι AD. αὐτόθι εἰνὶ πόλει G Flor ἐνὶ πόλει L Vrat. A. πτόλϊϊ H. πόλεϊ Townl. λείπετ᾽ C. λείπετο EL Vrat. A. Rom. — 709 ΞΥΝΒΛΗΝΤΟ Pap. — 710 τῶν γ᾽ Townl. τῷ δ᾽ Harl. — 711 ἐφ᾽ ἅμαξαν CH Lips ἀΐξαϲα D. — 712 ΑΝΦΙϹΤΑΘ Pap. ΟΜΕΙΛΟϹ Pap. 1. man. ὅμιλον Lips. — 713 καταδῦντα DL. καταδῦναι Lips. — 714 δακρυχέοντεϲ omnes. προ ADL.

---

A. c. 701 ἀρίϲταρχοϲ ἑϲτεῶτ᾽ Didymus.

εἰ μὴ ἄρ᾽ ἐκ δίφροιο γέρων λαοῖcι μετηύδα·
εἴξατέ μοι οὐρεῦcι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄcεcθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμον δέ.
ὣc ἔφαθ᾽, οἳ δὲ διέcτηcαν καὶ εἶξαν ἀπήνῃ.
οἳ δ᾽ ἐπεὶ εἰcάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
τρητοῖc ἐν λεχέεccι θέcαν, παρὰ δ᾽ εἷcαν ἀοιδούc,
θρήνων ἐξάρχουc, οἵ τε cτονόεccαν ἀοιδὴν
οἳ μὲν δὴ θρήνεον, ἐπὶ δὲ cτενάχοντο γυναῖκεc.
τῇcιν δ᾽ Ἀνδρομάχη λευκώλενοc ἦρχε γόοιο,
Ἕκτοροc ἀνδροφόνοιο κάρη μετὰ χερcὶν ἔχουcα·
ἆνερ, ἀπ᾽ αἰῶνοc νέοc ὤλεο, κὰδ δέ με χήρην
λείπειc ἐν μεγάροιcι· πάιc δ᾽ ἔτι νήπιοc αὔτωc,
ὃν τέκομεν cύ τ᾽ ἐγώ τε δυcάμμοροι, οὐδέ μιν οἴω
ἥβην ἵξεcθαι· πρὶν γὰρ πόλιc ἥδε κατ᾽ ἄκρηc
πέρcεται· ἦ γὰρ ὄλωλαc ἐπίcκοποc, ὅc τέ μιν αὐτὴν
ῥύcκευ, ἔχεc δ᾽ ἀλόχουc κεδνὰc καὶ νήπια τέκνα.

---

V. L. 715 ἂρ DGH. — 716 ΙΞΑΤΕ Pap. 1. man. διεθέμεν G. — 717 ἄcεcθε CDEGLS. ἄccεcθε Harl. Vrat. A. ΑCΕCΘΑΙ Pap. ἄcαcθε (ε supra α) A. ἄcαcθε H Vrat. d. ἀγάγωμι ADG Et. Mg. 54, 43. Cram. Epim. 76, 8. ἀγάγωμαι Lips. ἀγάγοιμι CEHLS conf. H. U. 250. δόμον δέ A. δόμον δὲ̆ (sic) D. πόλιν Et. Mg. 54, 43. Cram. Ep. 76, 8. γρ. πόλιν δέ A. — 718 ὡc A. οἳ δὲ C. διέcταcαν L. — 719 οἳ δ᾽ D. οἵδ᾽ CGHL. ΕΠΙ Pap. 1. man. ἀλλ᾽ ἐπεὶ Barocc. Mor. κλειτὰ H. — 720 ἓν A. — 721 θρήνων CEGHS Bekk. An. 752, 21. Pseudoplut. 144, 13. θρήνουc ADL Pap. Harl. Townl. Lips. Vrat. b. d. A. θρήνων· ἐξάρχουc᾽ οἵ τε H. ἐξάρχουc᾽ CGHLS. ἐξάρχουc᾽ (ι supra c) A. post ἀοιδήν est distinctio in A. — 722 οἳ μὲν C. ἂρ EH. μὲν δὴ θρήνεον DL Lips. ἐν ἄλλῳ οἱ μὲν δὴ θρήνεον A. vulgo οἱ μὲν ἄρ᾽ ἐθρήνεον. ἐπῑ C. δ᾽ ἐcτενάχοντο E Vrat. A Rom. — 723 τῇcιν: ἐν ἄλλῳ τοῖcιν A. ita Lips. ἀνδρομάχηι A. — 724 ἱπποδάμοιο DL Pap. Vrat. b. A. μετα A. — 725 ἄνερ CHS. καδδ᾽ ἐμε A (sic). καδδέμε CGHL. — 726 ἐνὶ μεγάροιcιν D. μεγάροιc L. παῖc L. δέ τε ACHS Cant. Mor. Lips. Vrat. A. ἐν ἄλλῳ πάϊc δ᾽ ἔτι A. αὔτωc AEGH. — 727 cοὶ L Lips. τε omitt. L Lips. ὀΐω HL. — 728 ἧδε A: ceteri ἥδε. κατάκρηc H. — 729 ὅc τέ μιν CEH: ceteri ὅcτε μιν. — 730 ῥύcκεν E. ῥύcαcκεc οὐδ᾽ ἀλόχουc L. ἐρύcαcκ᾽ οὐδ᾽ ἀλόχουc Lips. ἔχειc D. ΕC pro ἔχεc Pap.

---

A. c. 721, 722 corruptissimum hunc locum non tetigi, nisi quod cum Bekkero 2. οἳ μὲν δὴ θρήνεον scripsi. valde dolendum est excidisse Aristarchi explicationem, nam versui 721. in cod. A diple pura est adpicta. ea scriptura, quae firmatur optimorum librorum auctoritate „ἀοιδοὺc θρηνούc (= θρηνῳδούc), ἐξάρχουc᾽ οἵ τε cτονόεccαν ἀοιδήν. οἳ μὲν ἄρ᾽ ἐθρήνεον“ tantis difficultatibus laborat, ut praeter Düntzerum nemo eam ausus sit recipere. alii versum 721. pro spurio habuerunt. — 724 ἀνδροφόνοιο conf. Α 242. Ζ 498. Ι 351. Π 77. 840. Ρ 428. 616. 638. C 149. Ω 509. ἱπποδάμοιο Η 38. Π 717. Χ 161. 211. Ω 804. — 725 Ζηνόδοτοc νέον ὤλεο Didymus.

αἳ δή τοι τάχα νηυϲὶν ὀχήϲονται γλαφυρῇϲι,
καὶ μὲν ἐγὼ μετὰ τῇϲι· ϲὺ δ' αὖ τέκοϲ ἢ ἐμοὶ αὐτῇ
ἕψεαι, ἔνθά κεν ἔργα ἀεικέα ἐργάζοιο,
ἀθλεύων πρὸ ἄνακτοϲ ἀμειλίχου· ἤ τιϲ Ἀχαιῶν
ῥίψει χειρὸϲ ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
χωόμενοϲ, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ', ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτοροϲ ἐν παλάμῃϲιν ὀδὰξ ἕλον ἄϲπετον οὖδαϲ.
οὐ γὰρ μείλιχοϲ ἔϲκε πατὴρ τεὸϲ ἐν δαῒ λυγρῇ·
τῶ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄϲτυ,
ἀρητὸν δὲ τοκεῦϲι γόον καὶ πένθοϲ ἔθηκαϲ,
Ἕκτορ· ἐμοὶ δὲ μάλιϲτα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνῄϲκων λεχέων ἐκ χεῖραϲ ὄρεξαϲ,
οὐδέ τί μοι εἶπεϲ πυκινὸν ἔποϲ, οὗ τέ κεν αἰεὶ
μεμνῄμην νύκτάϲ τε καὶ ἤματα δάκρυ χέουϲα.
ὣϲ ἔφατο κλαίουϲ', ἐπὶ δὲ ϲτενάχοντο γυναῖκεϲ.
τῇϲιν δ' αὖθ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
ἦ μέν μοι ζωόϲ περ ἐὼν φίλοϲ ἦϲθα θεοῖϲιν·
οἳ δ' ἄρα ϲεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴϲῃ.

V. l. 731 τοι omitt. G. οἰχήϲονται CE Ven. B. γλαφυρῇϲι CDEGH. γλαφυρῇϲιν AL Pap. — 732 καὶ δὴ ἐγὼ G Flor. καὶ μὲν ἐγὼ ACDEH LS Cant. Mor. Harl. Lips. Barocc. Townl. Vrat. b. d. ἡ ἐμῇ C. — 733 ἔνθά κεν ACDH. ἐνθά κεν G. — 734 ἀθλεύων ADLS Cant. Lips. Barocc. Mor. Harl. Townl. Vrat. b. d. A. Hesychius I, 64. Suidas II, 2, 414, 6. ἀεθλεύων CEGH edd. vett. Schol. X 183. προ AD. ἀμειλίκτου Lips. Schol. X 183. — 735 ἑλὼν: ἔχων Schol. T 126. ἀπο A. — 736 ΧΩΜΕΝΟϹ Pap. 2. man. ᾧ δή: ᾧτινι δή DEGLS Mor. Barocc. Lips. edd. vett. χωόμενοϲ ultimam ante vocalem producit ut A 244. I 107. Ψ 603. θ 238. λ 103. ν 343. εἰδόμενοϲ Ε 462. ϲειάμενοϲ X 22. ἀχνύμενοϲ Ψ 137. πλαζόμενοϲ π 64. θερϲόμενοϲ τ 507. — 737 Η pro ἠὲ Pap. idem ΗΚΑΙ pro ἐπεὶ. — 738 ΠΑΛΑ Pap. 1. man. ΜΗΙϹΙΝ add. 2. man. — 740 τῶ ACDHLS. τῷ EG. κεν pro καὶ C. μὲν omitt. EG Flor. κατὰ: ΠΕΡΙ Pap. — 741 ἄῤῥητον CHLS Cant. Barocc. Mor. Vrat. b. d. A. conf. ad P 37. τοκεῦϲιν H. — 742 μάλα γε λελείψεται L. — 743 γάρ μι G. θνήιϲκων A: ceteri θνήϲκων. — 744 οὐδέ τι μοι ADGHL Plutarchus Consol. ad Apoll. 30. εἶπαϲ Lips. Barocc. ceteri cum Plutarcho εἶπεϲ. οὔτε κεν E. — 745 μεμνήμην A. μεμνοίμην L Lips. νύκτάϲ τε A. ἤματα DGH. δακρυχέουϲα omnes. — 746 ὡϲ A. φάτο D. ἐπι CD. δε C. δ' ἐϲτενάχοντο Lips. Rom. conf. 722. — 747 τοῖϲι D Lips. τοῖϲιν L. δ' αὖ L. αδινοῦ A. ceteri ἀδινοῦ. βόοιο G. — 748 ἕκτωρ Lips. ΟΜΟΙ pro ἐμῷ Pap. 1. man. περι φίλτατε D. — 749 θεοῖϲι G Pap. — 750 οἵδ' CHL. ΗΔ' pro οἳ δ' Pap. κήδονται D.

A. c. 743 θνῄϲκων conf. H. U. 216. — 749 περιϲπαϲτέον τὸν ἢ Schol. V.

ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
πέρνασχ᾽, ὅν τιν᾽ ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
ἐς Σάμον ἔς τ᾽ Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
σεῦ δ᾽ ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷ,
πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ᾽ ἑτάροιο,
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ᾽ ὧς.
νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
κεῖσαι, τῷ ἴκελος, ὅν τ᾽ ἀργυρότοξος Ἀπόλλων
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν.
ὧς ἔφατο κλαίουσα, γόον δ᾽ ἀλίαστον ὄρινε.
τῇσι δ᾽ ἔπειθ᾽ Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ᾽ ἄγαγε Τροίηνδ᾽· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
ἤδη γὰρ νῦν μοι τόδ᾽ ἐεικοστὸν ἔτος ἐστίν,
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ᾽ οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ᾽ ἀσύφηλον·
ἀλλ᾽ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι

V. l. 751 ἀχῖλεὺς C. — 752 ΕΛΕΚΕ Pap. 1. man. ἐν ἄλλῳ ὅντιν᾽ ἕλῃσι A. ὅν κε λάβοι Strabo X, 457. ἥν τινα ἢ ὅντινα E. — 753 ὀμιχθαλόεσσαν L — 754 ΕΠΙ Pap. — 755 ῥυτάζεσκεν L Lips. — 756 ἀνέστησε CDEG Vrat. A. edd. vett. ὡς A ceteri ὥς. — 757 ἑρσήεις ACGHL. ἐῤῥωεῖς Vrat. A. μεγάροισι ACDEH. — 758 ἵκελος DGHL. ὅτ᾽ pro ὅν τ᾽ D. — 759 ἀγανοῖσι βέλεσσιν LS Pap. βέλεσσιν Vrat. A. ἀποιχόμενος κατεπέφνην G. ΚΑΤΑΠΕΦΝΗ Pap. καταπέφνει L. καταπέφνει$^{εν}$ S. ἐν ἄλλῳ οἷς ἀγανοῖσι βέλεσσι ἐποιχόμενος καταπέφνη A. — 760 ὡς A. ὄρινε ACGH. ὄρινεν E 1372, 23 L ἔγειρε D Pap. Mor. Barocc. Vrat. A. conf. Υ 31. — 761 τοῖσι L. δ᾽ αὖθ᾽ HS Cant. Harl. — 762 πολυφίλτατε D. — 764 μ᾽ ἄγε E. τροίην omisso δ᾽ D. ἄγαγ᾽ ἐς τροίην C. ἐς τροίηνδ᾽ Harl. ὃς Lips. ὤφελον$^{λ}$ C. ὤφελον H. ὄφελον L. ὤφελλ᾽ ἀπολέσθαι A in marg. DGS Cant. Vrat. d. A. edd. vett. ὤφελλον ὀλέσθαι ἢ ὄφελλ᾽ ἀπολέσθαι Eust. 1374, 30. ὡς πρὶν ὤφελλον ὀλέσθαι ἀκριβέστερον τοῦ ὤφελλ᾽ ἀπολέσθαι Eust. 1374, 44. — 765 τόδε εἰκοστὸν CDGHLS alii. τόδ᾽ ἐεικοστὸν AE Vrat. d. Flor. Rom. — 767 ΟΥΠΩϹ Pap. — 768 εἴ τις μοι L. ἐνι A. ἐνῖμμεγάροισϊν C. ἐνίπποι D Lips. ἐνίσποι GLS Cant. Barocc. Mor. Townl Vrat. A. Flor. γρ. ἐνισσοι A.

A. c. 753 ἀμιχθαλόεσσαν: Ἀντίμαχος μιχθαλόεσσαν Schol. V: alii fortasse ὀμιχλήεσσαν, conf. Schol. AD ἔνιοι δὲ οὐχ οὕτως ἀλλὰ τὴν ὀμιχλώδη ἀπέδοσαν. — 764 ὤφελλ᾽ ἀπολέσθαι: ὄφελον (sic) ὀλέσθαι οὕτως, ἵν᾽ ᾖ ὅμοιον τῷ „ὥς μ᾽ ὄφελ᾽ ἤματι τῷ" (Z 345) Schol. V. in A versui diple est adposita, sed intercidit scholium Aristonici, quod haud dubie ad hanc scripturam pertinebat.

δαέρων ἢ γαλόων ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή, ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί,
ἀλλὰ ϲὺ τόν γ' ἐπέεϲϲι παραιφάμενος κατέρυκες
ϲῇ τ' ἀγανοφροϲύνῃ καὶ ϲοῖϲ ἀγανοῖϲ ἐπέεϲϲι.
τῶ ϲέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίϲ μοι ἔτ' ἄλλοϲ ἐνὶ Τροίῃ εὐρείῃ
ἤπιοϲ οὐδὲ φίλοϲ, πάντεϲ δέ με πεφρίκαϲιν.
ὣϲ ἔφατο κλαίουϲ', ἐπὶ δ' ἔϲτενε δῆμοϲ ἀπείριων.
λαοῖϲιν δ' ὁ γέρων Πρίαμοϲ μετὰ μῦθον ἔειπεν·
ἄξετε νῦν Τρῶεϲ ξύλα ἄϲτυ δέ, μηδέ τι θυμῷ
δείϲητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺϲ
πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώϲ.
ὣϲ ἔφαθ', οἱ δ' ὑπ' ἀμάξηϲιν βόαϲ ἡμιόνουϲ τε
ζεύγνυϲαν, αἶψα δ' ἔπειτα πρὸ ἄϲτεοϲ ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄϲπετον ὕλην·
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεϲίμβροτοϲ ἠώϲ,
καὶ τότ' ἄρ' ἐξέφερον θραϲὺν Ἕκτορα δάκρυ χέοντεϲ,
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέϲαν, ἐν δ' ἔβαλον πῦρ.
ἦμοϲ δ' ἠριγένεια φάνη ῥοδοδάκτυλοϲ ἠώϲ,
τῆμοϲ ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτοροϲ ἤγρετο λαόϲ.

V. l. 769 ἢ δαέρων Townl. ἐϋπέπλων CGHL. εὐπέπλων ADE Vrat. A Lips. — 770 ἑκυρ||||||δὲ A. αἰεὶ: πατὴρ L. HEN Pap. 2. man. in marg. γρ. εἶεν (ἦεν?) A. — 771 τοί γ' ἐπέεϲϲι παρεφάμενοϲ H. — 772 ἐπέεϲϲι ACDEH. ἐπέεϲϲιν GL Pap. Flor. — 773 τῶ ACHL. τώ D. τῷ EG. ϲε θ' C. ϲε μάλα κλαίω L Lips. — 774 γάρ τϊϲ μοι CH. ΜΟΙΤΙϹ Pap. ἐνι A. — 775 φίλιοϲ D. πεφρίκαϲι AD. ΠΕΦΡΕΙΚΑϹΙΝ Pap. — 776 ὡϲ A. ἐπι CL. δὲ ϲτένε A. — 777 λαοῖϲι D Lips. μετα ACD. ἔειπε D Lips. — 778 ἄξατε Harl. τρῷεϲ L. ἄϲτυ δὲ AH. μὴ δέ τι CG. — 779 λόχον omitt. L. ἀχϊλεὺϲ C. — 780 ὧδε, πέτελλε L. ἀπο A. — 782 ὡϲ A. οἵδ' CDGL. ὑφ' ἀμάξηϲι CDG Mor. Barocc. Vrat. b. d. A. Flor. ὑφ' ἀμάξηϲιν H. ἀμάξηϲι E Lips. ἀπ' ἀμάξηϲιν S. — 783 ζεύγνυον Mor. Townl. Vrat. d. προάϲτεοϲ A. προ D. ἠγερέθεντο H. — 784 μὲν τόγ' D. ΔΗϹΦΙΝ (η above) Pap. 1. man. ΤΟΙΓΕ 2. man. ἀγήνεον CDH. ἀγίνεον L. ἀγείνεον Townl. Apoll. Soph. 6, 8. — 785 φάνη DL Vrat. A. φρένη Lips. φαεϲίμβροτοϲ A. ῥοδοδάκτυλοϲ Vrat. A. ἐν ἄλλῳ ῥοδοδάκτυλοϲ ἠώϲ A, conf. Ζ 175. — 786 ἂρ CDEGHL. ἄρ' A. δάκρυ χέοντεϲ A: ceteri δακρυχέοντεϲ. — 787 ἓν A. ἐν δ' ἔβαλον πῦρ: ἐν ἄλλῳ ἀχνύμενοι κῆρ A, conf. Ψ 165. — 789 τῆμοϲ δ' D. ἂρ DGHL. ΠΥΡΗ Pap. ΚΛΥΤΟΝ Pap. 2. man. ΚΡΙΤΟϹ 1. man. * ἤγρετο: libri ἔγρετο, conf. Η 434. versus abest a Townl.

A. c. 773 ἔμ' ἄμμορον: οἱ δὲ γράφουϲιν ἐμὸν μόρον Schol. V. conf. Ζ 408.

[αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,]
πρῶτον μὲν κατὰ πυρκαϊὴν cβέcαν αἴθοπι οἴνῳ
πᾶcαν, ὁπόccον ἐπέcχε πυρὸc μένοc· αὐτὰρ ἔπειτα
ὀcτέα λευκὰ λέγοντο καcίγνητοί θ' ἕταροί τε
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
καὶ τά γε χρυcείην ἐc λάρνακα θῆκαν ἑλόντεc,
πορφυρέοιc πέπλοιcι καλύψαντεc μαλακοῖcιν·
αἶψα δ' ἄρ' ἐc κοίλην κάπετον θέcαν, αὐτὰρ ὕπερθε
πυκνοῖcιν λάεccι κατεcτόρεcαν μεγάλοιcι·
ῥίμφα δὲ cῆμ' ἔχεαν, περὶ δὲ cκοποὶ εἵατο πάντῃ,
μὴ πρὶν ἐφορμηθεῖεν ἐυκνήμιδεc Ἀχαιοί.
χεύαντεc δὲ τὸ cῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα
εὖ cυναγειρόμενοι δαίνυντ' ἐρικυδέα δαῖτα
δώμαcιν ἐν Πριάμοιο, διοτρεφέοc βαcιλῆοc.
ὣc οἵ γ' ἀμφίεπον τάφον Ἕκτοροc ἱπποδάμοιο.

V. L. 790 omitt. AELS Pap. Lips. Townl. Vrat. d. A. Flor. habent CDGH. ὁμυγερέεc G. — 791 κατα ACD. πυρκαϊὰν Lips. — 792 ἐπεῖχε Vrat. d. Flor. conf. Ψ 238. — 793 θ' omitt. DEHS edd. vett. habent ACGL Townl. conf. Δ 441 καcιγνήτη ἑτάρη τε. — 795 χρυcέην L. — 797 ἂρ ADEGHL. ὕπερθε AEH: ceteri ὕπερθεν. — 798 πυκϊνοῖcϊ CH. πυκνοῖcι Vrat. A. πυκνοῖcι (πυκινοῖcιν L) μεγαλοῖcι κατεcτόρεcαν λάεccι L Lips. ΚΑΤΑCΤΌΡΕCΑΝ Pap. μεγάλοιcι ACEH. — 799 ἔχευαν S Barocc. ἔχεον Townl. παντη AEG: ceteri πάντη. — 800 ἐφορμήcειαν L Lips. ЄΥΚΝΗΜЄΙΔЄC Pap. 1. man. — 802 cυναγειρόμενοι (α) A. cυναγειράμενοι GL Lips. edd. vett. εὖ τ' ἀναγειράμενοι Harl. Cant. Mor. cυναγυρόμενοι Vrat. d. διαγειρόμενοι S Barocc. ΔΑΙΝΥΝ ΠЄΡΙΚΥΔЄΑ Pap. 1. man. correxit man. 2. — 803 διοτροφέοc H. — 804 ὡc A.

A. c. 793 ὀcτέα Herodianus: alii ὄcτεα. — 795 τά γέ χρυcείην conf. H. U. 41. — 796 καλύψαντεc: τινὲc καθάψαντεc Schol. V. — 804 τινὲc γράφουcιν „ὣc οἵ γ' ἀμφίεπον τάφον Ἕκτοροc· ἦλθε δ' Ἀμαζών, Ἄρηοc θυγάτηρ μεγαλήτοροc ἀνδροφόνοιο" Schol. V.